ς'.) Μάτην, φαμὲν, ταῦτα καὶ τὰ ἔτι πρότερον καὶ τὰ ἐς ὕστερον παρὰ τῆς πνευματικῆς αὐτῶν μητρὸς Μεγάλης Ἐκκλησίας εὐεργετήματα καταβέβληται ἐπὶ τῷ δυσωπῆσαι τούτους δὴ τοὺς νεωτεριστὰς, ὥστ' ἀνανήψαντας φυλάξαι ἑαυτοὺς καὶ τὸ οἰκεῖον ἔθνος καὶ τοὺς ὁμοδόξους ἀπὸ μειζόνων σάλων καὶ κοινῶν σκανδάλων, ὧν τὸ αἰώνιον οὐαὶ εὐθύνει τὸν αἴτιον. Μετὰ γὰρ τὸν ἀνατολικὸν ἐκεῖνον πόλεμον, ἄρτι τῶν πραγμάτων καταστάντων, τῆς δ' ἐφ' ἡμᾶς φιλονόμου καὶ μεγαλοδώρου κυβερνήσεως πανδήμως αὖθις ἀνακηρυξάσης τοὺς πολιτικοὺς θεσμοὺς τῆς ἀνεξι-

Digitized by Google

θρησκείας, οὓς διὰ τοῦ ὑψηλοῦ χάττι-χουμαγιοὺν κεκύρωκε, ταύτης ἐπιλαβόμενοι τῆς προφάσεως, καὶ κομιδῆ ἐκτόπως ἀνεξιθρησκείαν ὑπειληφότες οὐ τὸ ἀνέχεσθαι ἀλλήλων, ὥςπεροῦν εἰκὸς, τὰς ἑτεροδόξους Ἐκκλησίας καὶ θρησκείας, ἀλλὰ τὸ ἐν μιᾷ καὶ τῇ αὐτῇ θρησκείᾳ τε καὶ Ἐκκλησίᾳ ἐξεῖναι νηποινεὶ παρανομεῖν τὸν βουλόμενον καὶ ἐν ἀλλοτρίῳ καὶ ἀθέσμῳ πνεύματι ἀνατρέπειν τὰ εὖ καὶ πατροπαραδότως κείμενα, καὶ τὸ προσωπεῖον λοιπὸν ἀφελόμενοι, καὶ ραγδαίως ἤδη καὶ ἀναφανδὸν ἐπιτιθέμενοι κατὰ τοῦ κλήρου τοῦ Κυρίου, ἄλλως τε καὶ δι' ἐφημερίδων, ὧν ἔστιν ἃς γεζουϊτικὸς ὑπεφύσα καὶ συνέττατε καὶ νοῦς καὶ κάλαμος, ἐδείνωσαν τὸ κακὸν ἐν ἀπαιδεύτῳ κοινωνίᾳ εἰς τοὔσχατον. Ἡ δέ τοι δείνωσις αὕτη οὐ μόνον τὰς πολυειδεῖς καὶ πάσης τραγῳδίας καὶ θρήνων ἀνάπλεως κακώσεις τῶν ἑλληνοφώνων κληρικῶν καὶ διδασκάλων ἔστιν ὅπου τῶν ἐπαρχιῶν ἐπεσπάσατό τε καὶ παρεσκεύασεν, ἀλλὰ καὶ πρὸς τούτοις τὸν μὲν ἰούλιον τοῦ ͵αωνς' σωτηρίου ἔτους ἱκετηρίαν τῇ αὐτοῦ αὐτοκρατορικῇ Μεγαλειότητι, τῷ μεγαθύμῳ σουλτάνῳ, ἐπ' ὀνόματι δῆθεν τοῦ βουλγαρικοῦ λαοῦ προεκάλεσεν, ἐξαιτουμένου ταὐτὰ καὶ παραπλήσια τοῖς τῶν γραικῶν καὶ ἀρμενίων ὑπηκόων προνόμια καὶ δίκαια, οἵων καὶ αὐτοὶ (ἔφασαν) ἕως μεσούσης τῆς παρεληλυθυίας ἑκατονταετηρίδος ἀπολελαυκότες, τὰ πάντ' ἀφήρηνται πρὸς τοῦ γραικικοῦ Πατριαρχείου. Τοῦ δ' ἐπιόντος ἔτους ἦρος ἄρτι διαγελῶντος, ἐπειδή περ τὸ σουλτανικὸν διάγγελμα διεπεφοιτήκει πανταχόσε περὶ τῆς συγκροτήσεως τῆς διὰ τοῦ τρίτου ἄρθρου τοῦ μνησθέντος χάττι-χουμαγιοὺν προαγγελθείσης γενικωτέρας τῶν ἀνὰ τὸ κράτος χριστιανῶν συνελεύσεως ἐπὶ διευθετήσει τῶν κοινῶν πραγμάτων, τοῦτον νομίσαντες ἥκειν τὸν καιρὸν τοῦ ἀποκαταστῆσαι κατ' εὐχὴν τὴν κατ' αὐτοὺς ἐθνικὴν καὶ ἀνεξάρτητον ἱεραρχίαν, καὶ ἓν τοῦτο φέροντες τὸ σύνθημα ἐπί τε γλώττης καὶ ἐπὶ καλάμου, πάλιν οὔτε λοιδορίας,

Digitized by Google

οὔτε συκοφαντίας, οὔτε ἄλλου οὐδενὸς ἀπέσχοντο, ὁπόσα ἀποδείξειν ἔμελλε τὸν παρὰ τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας κλῆρον ἀπὸ μικροῦ ἕως μεγάλου, ἀπὸ ἕλληνος ἕως βουλγάρου, ἀπηνῆ δῆθεν διώκτην ὄντα τῆς βουλγαρικῆς ἐθνότητος, καὶ ἀποκλειστικὸν καὶ πλεονέκτην καί, ὃ μάλιστα σατανικόν, τὴν ἀρχὴν ἀδιόρθωτον. Αἱ δὲ δὴ οὕτω χαλεπαὶ καὶ βαρύταται διαβολαὶ καὶ δυσφημίαι, οὐ πολὺ ἀφεστηκυῖαι τοῦ γελοίου καὶ ἀπιθάνου διὰ τὴν ὑπερβολήν, καὶ διὰ τοῦτο οὐκ εὐστοχήσασαι τοῦ σκοποῦ τῶν διαδιδόντων, εἰςώθησαν ὅμως εἰς τὰ οὐνιτικὰ τῆς προπαγάνδας δίκτυα δι' ἀντεκδίκησιν μᾶλλον καὶ κέρδος ὑλικόν, ἢ κατ' ἐπίγνωσιν, ὀλίγην ἄγραν βουλγαρικήν, πρῶτα μὲν ἐν Πολυάνη τῇ θεοσώστῳ ἐπισκοπῇ τοῦ Θεσσαλονίκης, κατόπιν δὲ καὶ ἄλλοθι, ἀλλ' οὐκ εἰς τέλος· τὸ γὰρ ψεῦδος βραχύβιον.

ζ'.) Ἐφ' ὅσον μὲν οὖν ἀφανέστερον καὶ ἰδιωτικώτερον ἐλέγετό τε καὶ ἐγράφετο τὰ τοιαῦτα παρὰ τῶν βουλγαριστῶν αἰτήματά τε καὶ αἰτιάματα, τέως ἰδιωτικῶς ὁμοίως καὶ ἡ καθ' ἡμᾶς ἁγιωτάτη Ἐκκλησία διετέλει τὴν οἰκείαν τάξιν, τάξιν φύλακος ἀγρύπνου καὶ μητρὸς πολυμερίμνου, οὐδ' ἐπ' ἐλάχιστον καταλείπουσα, ἀεὶ διά τ' ἐπιστολῶν ἐκκλησιαστικῶν καὶ διὰ εἰδικῶν πραγματειῶν, καί, σπανιώτερον, ἐν δημοσιογραφικαῖς μελέταις νουθετοῦσά τε καὶ παραινοῦσα, προλαμβάνουσα καὶ αἴρουσα, ὅσον ἐνῆν, τὰ τῆς διχοστασίας λαοκτόνα σκάνδαλα, ὥστ' εἰρηνοποιῆσαι καί, εἰ θέμις λέγειν, μειλίξαι καὶ ἐξευμενίσαι παῖδας στρυφνούς, νεανικώτερον σφαδάζοντας κατὰ τῆς ἑαυτῶν μητρὸς καὶ ἀγνοοῦσι μὲν ἐοικότας οἷον θαυμαστὸν τυγχάνει τὸ ἐν ὁμονοίᾳ καὶ ἀγάπῃ ζῆν τὰ τέκνα σύμπαντα ὑπὸ τὸ ζωογόνον θάλπος μητρικῆς στοργῆς καὶ τῆς ἰσότητος συναπολαύειν, ἰσότητος ἐχούσης τὸ κατ' ἀξίαν, κατὰ τὴν θεολόγον φωνήν, οὐκ εἰδότας δὲ τί καὶ προσαιτοῦνται ἴδιον ἐκ τῆς κοινῆς κληρονομίας τοῦ Κυρίου.

η'). Ἀλλ' ἄρτι τοῦ ͵αωξ' σωτηρίου ἔτους ἀνατεταλκότος (τῇ

ιε' ἰανουαρίου), ὀγδοήκοντα τυρνοβιτῶν ἱκετηρίαν ἔγγραφον ὁ ἐν τῇ προρρηθείσῃ συνελεύσει ἀντιπρόσωπος αὐτῶν ἐπιδεδωκὼς τῇ Ὑψηλῇ Πύλῃ, ἐπανελάμβανε τὰ ἐν αὐτῇ ἐγγράφως καὶ πρὸς τὴν συνέλευσιν, ἐν ἓξ προτάσεσι διατυπώσας τά τε περὶ τῆς ἀμφοῖν τῶν τὰ πρώην ποτ' αὐτοκεφάλων δῆθεν γενομένων ἀρχιεπισκοπῶν 'Αχριδῶν καὶ Τυρνόβου ὀφειλομένης ἀποκαταστάσεως, καὶ τὸ χειροτονεῖν ἀρχιερεῖς βουλγαρογενεῖς, πάντῃ πάντως ἰσοτίμους τοῖς ἐκ τῶν γραικῶν ἐσομένους, ἔτι μὴν τὴν τῆς οἰκείας γλώττης ἀδέσμευτον χρῆσιν, καὶ τελευταῖον τὴν τοῦ ἐπιλεγομένου κοινοῦ χρέους ἀκριβῆ ἐξέλεγξιν, ἵνα γνωσθέντες οἱ τὰ Πατριαρχεῖα παρὰ λόγον (ἔφη) χρεώσαντες αὐτοὶ ἀναγκασθεῖεν ποιήσασθαι τὴν ἐξόφλησιν. Ἐπεὶ δὲ ἡ συνέλευσις τὰ τυρνοβικὰ ταῦτ' αἰτήματα, καίπερ ἕνεκά γε τοῦ προτείναντος ἀντιπροσώπου τύπον ἐπαρχιακῆς βουλήσεως φέρειν δοκοῦντα, οὔτε συνεζήτησεν, ἀλλ' οὔτε τὴν ἀρχὴν προσήκατο, τοῦτο μὲν διὰ τὸ ἐποικοδομηθῆναι ἐπὶ αἰτιάσεων καὶ διϊσχυρισμῶν ἀναποδείκτων, τοῦτο δὲ διὰ τὸ ξένα εἶναι τῆς τῆς συνελεύσεως ἐντολῆς· ὁ μὲν ἀντιπρόσωπος, διαμαρτυράμενος πρὸς τὸ συνέδριον, ἀπέστη. Οἱ δὲ ὁμοφρονοῦντες αὐτῷ, ὥςπερ ἀπέλπιδες καὶ ἀπόλυτοι γεγονότες, καὶ ἐπιθετικώτερον ἤδη τῆς κατὰ τῶν Πατριαρχείων ἀνταρσίας καὶ καταφορᾶς ἁψάμενοι, προὔβησαν, φεῦ, καὶ εἰς βεβήλωσιν καὶ ἐμπρησμὸν τῶν παναχράντων Εὐαγγελίων καὶ τῶν λοιπῶν ἐκκλησιαστικῶν βιβλίων καὶ ἱερῶν τινων εἰκόνων, ὡς φθεγγομένων ἑλληνιστί, οὐ μὴν δ' ἀλλὰ καὶ εἰς διαρπαγὴν ὅλων ἐπισκοπῶν καὶ μητροπόλεων, ζητοῦντες τὰς ψυχὰς τῶν ἐν αὐταῖς ποιμένων τοῦ ἀπολέσαι αὐτάς.

θ'.) Ἀλλ' ἦν ἄρα τούτων τῶν τοῦ ὄχλου ἀχαλίνων σκιρτημάτων καὶ ἀσεβημάτων ἄλλα τόσῳ βαρύτερα καὶ χαλεπώτερα, ὅσῳ οἱ πράττοντες ἐδόκουν οὐκ ἀγνῶτες εἶναι τῶν κανόνων, τῶν δ' ἄλλων νουνεχέστεροι καὶ τόπον διδασκάλων εὐσεβείας, ὡς

Digitized by Google

ἐπίσκοποι, ἐπέχοντες. Τῇ τρίτῃ γὰρ ἱσταμένου τοῦ ἀπριλίου κατὰ τὸ αὐτὸ σωτήριον ἔτος, ἐν τῇ ἁγίᾳ καὶ κλητῇ καὶ κοσμοσωτηρίῳ ἡμέρᾳ τῆς τοῦ Ζωοδότου ἐκ νεκρῶν ἀναστάσεως, ἐν ᾗ ἐχθροὶ καὶ φίλοι, ὡς ἐν ἐπινικίῳ χαρᾷ καὶ πανηγύρει περιπτυσσόμενοι ἀλλήλους ἐν ἀδελφικῷ φιλήματι, πανηγυρίζομεν τὰ κατὰ τοῦ διαβόλου καὶ τῆς ἁμαρτίας τρόπαια καὶ νικητήρια τῆς Ἐκκλησίας διὰ Ἰησοῦ Χριστοῦ, ἐν ταύτῃ τῇ λαμπρᾷ καὶ τῆς κοινῆς ἀγαλλιάσεως ἡμέρᾳ, ὁ τοῦ προμνησθέντος βαλαταίου βουλγαρικοῦ ναΐσκου (ἔστι δ' ὁ Βαλατᾶς ἀρχιτέρμων τῇ τοῦ Φαναρίου συνοικίᾳ, ὧν ἀμφοῖν μέσος ἵδρυται ὁ βουλγαρικὸς ναὸς) χωρεπίσκοπος Ἱλαρίων, ἀνιλέῳ διανοίᾳ καὶ παντόλμῳ γλώττῃ ἀπαλείψας ἐκ τῶν ἱερῶν διπτύχων τὸ μνημόσυνον τοῦ οἰκείου καὶ κανονικοῦ πατριάρχου, οὐδὲν παθὼν αὐτός, οὐδενὸς ἐκεῖνον κατεγνωκότος, ἐμνημόνευσε καὶ τότε κἀν τῷ ἐπιόντι, καθάπερ αὐτοκέφαλος καὶ αὐτοχειροτόνητός τις ἀρχιεπίσκοπος πάντων τῶν ἁπανταχοῦ βουλγάρων, «πάσης ἐπισκοπῆς ὀρθοδόξων»· τῇ δ' ὑστεραίᾳ καὶ ἐφεξῆς ἀδεῶς καὶ ἀσυστόλως ἐχοροστάτει δίχα τῆς κανονικῆς ἀδείας, καὶ λάρυγγι σχισματικῷ ἠλάλαζε τὸ ἀποτρόπαιον τῆς πνευματικῆς καὶ ἠθικῆς ἐπαναστάσεως κήρυγμα. Τηνικαῦτα μὲν οὖν, ὥςπερ ἦν εἰκός, μετὰ δευτέραν πρόσκλησιν ἑκὼν ἀέκων ἐπὶ Συνόδου παραστὰς (τῇ ιγ' ἀπριλίου), οὐκ εἶχεν ἄλλως συσκιάσαι τὸ ἔγκλημα, ἢ τεχνηέντως ἐπισείων τῷ ἱερῷ τουτῳῒ συνεδρίῳ τοῦ λαοῦ τὸ κέλευσμα, καὶ ἀπειλῶν μέν, ὡς ἀπαρέσκοι ἄρα τῷ βουλγαρικῷ λαῷ ἡ ἐκκλησιαστικὴ ἀρχή, ὑποδεικνὺς δὲ οὕτω τὸ ἀμεταμέλητον. Καὶ ἀληθῶς τῇ ἀντικανονικῇ ἐμμένων βουλῇ, καὶ ἔκτοτε συμπαρασύρας τόν τε πρώην Δυρραχίου Αὐξέντιον καὶ κατόπιν τὸν Φιλιππουπόλεως Παΐσιον, ἄμφω οὐδενὸς δευτέρους τὴν ἀντικανονικὴν ἀπόνοιαν ἀναφανέντας, ἑδραῖον ἔπηξεν ἐν τε Κωνσταντινουπόλει παρὰ τὰς πύλας τοῦ πατριαρχικοῦ ναοῦ, καὶ βραδύτερον ἔσθ' ὅπου τῶν βουλγαρι-

Digitized by Google

κῶν παροικιῶν, ἑδραῖον καὶ ἀπεσχισμένον θυσιαστήριον, νέος Ναυάτος ἐν τῇ νέᾳ Ῥώμῃ ἀρχηγὸν ἑαυτὸν τῆς τῶν βουλγάρων ἐθνικῆς Ἐκκλησίας καὶ ὀνομάζων καὶ κηρύττων καὶ μνημονευόμενος. Τῶν δ' ἄλλων δύο (ἵνα μὴ τὸν κοιμηθέντα ταράξωμεν) ὁ πρὸ τοῦ καθαιρεθῆναι Φιλιππουπόλεως Παΐσιος, ἐν τῇ Φιλίππου πόλει τέως τὰς διατριβὰς ποιούμενος, οὔτε τὸ εἰωθὸς ψηφοδέλτιον εἰς βασιλεύουσαν ἔπεμπε, τὸ ἐπὶ τῇ ἐκλογῇ τοῦ πατριάρχου (φθὰς γὰρ κατὰ μάϊον ὁ παναγιώτατος κὺρ Κύριλλος τὴν παραίτησιν ἐποιήσατο), οὔτε μήν, λόγον ἀπαιτούμενος ὑπὸ τῆς Ἐκκλησίας περὶ ὧν κατηγορεῖτο, διδόναι ἤθελεν, ἐπηρκεῖτο δὲ γράφων χρῆναι τὸν ποιμένα τῇ οἰκείᾳ ποίμνῃ ἕπεσθαί τε καὶ συμφρονεῖν· ἕως οὗ ἐξ ἀλογίας εἰς ἀλογίαν μεταπηδῶν, ἐξέκοψε καὶ αὐτὸς τὸ κανονικὸν τοῦ πατριάρχου μνημόσυνον, καὶ στάδιον εὐρὺ ἀδιαλείπτων καί ποθ' αἱμοσταγῶν σπαραγμῶν ἀπέφηνεν ὁ δείλαιος τὴν ἑαυτοῦ πολυπληθῆ καὶ εὐανδροῦσαν μητρόπολιν.

ι'.) Ἐν τούτοις τοίνυν σαλευόντων τῶν βουλγαρικῶν πραγμάτων, καὶ πολλαχόθεν μὲν γραμμάτων ἱκετευτικῶν ἀφικνουμένων ὁσημέραι καὶ ἀνακλαιομένων τὰ μυρίων θρήνων ἄξια ἐμφύλια δεινά, τὰ ἠθικὰ καὶ τὰ κοινωνικά, διὰ τοὺς παρεισφρήσαντας ὀλίγους δημοκόπους καὶ λυμεῶνας, τοὺς νηποιεὶ κατορχουμένους τῶν ἄγαν μακροθύμων τρόπων τῆς ἐκκλησιαστικῆς ἀρχῆς, τοῦ δὲ λοιποῦ παντὸς χριστεπωνύμου πληρώματος, ὅσον μὴ βουλγαρικόν, ἀσχάλλοντος καὶ ἀγανακτοῦντος ἐπὶ τῇ τηλικαύτῃ ἀνοχῇ τῆς Ἐκκλησίας, ὑφ' ἧς ἀνάστατος γενέσθαι κινδυνεύει ὅλος λαός· ταῦτα ἐμβριθῶς σκεψάμενος καὶ τὸ μέγεθος ἀναμετρήσας τῆς εὐθύνης ὁ παναγιώτατος προκάτοχος ἡμῶν κὺρ Ἰωακείμ, Σύνοδον ἔγνω συγκροτῆσαι ἱερὰν καὶ μεγάλην (τῇ δ' φεβρουαρίου ,αωξα' σωτηρίου ἔτους) ἀπό τε τῶν παναγιωτάτων πατριαρχῶν πρώην Κωνσταντινουπόλεως, καὶ τῶν κατ' ἐκεῖνο καιροῦ συνενδημούντων μακαριωτάτων, καὶ πάντων τῶν παρεπιδη-

Digitized by Google

μούντων μητροπολιτῶν (ἐν οἷς καὶ βούλγαροι τὸ γένος, ὅ,τε Ρόδου Ἰγνάτιος, καὶ Νυσσάβας Δωρόθεος, καὶ ὁ Βράτζας Παΐσιος). Ἡ δὲ ἁγία καὶ μεγάλη αὕτη Σύνοδος εὐλαβῶς καὶ προσηκόντως ἀνασκεψαμένη πᾶσαν τὴν ἀντικανονικὴν διαγωγὴν καὶ πολιτείαν τοῦ τε Μακαριουπόλεως Ἱλαρίωνος καὶ τοῦ πρώην Δυρραχίου Αὐξεντίου, καὶ τὸ ἐν γνώσει καὶ ἐπιμόνως στασιαστικὸν καὶ παντάπασιν ἀγνωσιμάχητον τῶν ἐπισκόπων τούτων ἐν συνοχῇ καρδίας κατιδοῦσα, καὶ μὴν καὶ τὰς ἐνδένθεν συνεπείας πάσας ἀνὰ μίαν ἐπὶ μακροῦ ἀναλογισαμένη, τρὶς δὲ κατὰ τοὺς κανόνας μεταπεμψαμένη πρὸς ἀπολογίαν, ὡς εἶδεν αὐτοὺς ἀπειθοῦντας καὶ σκληροτραχήλους, καθεῖλε μὲν τοῦ ἀρχιερατικοῦ βαθμοῦ ἐν ἁγίῳ Πνεύματι, ὡς οὐκ αὐτοὺς μόνους τῶν ἱερῶν καθεστώτων κατεπανεστηκότας, καὶ τῶν ἐκκλησιαστικῶν θεσμῶν καὶ κανόνων καταφρονητάς, ἀλλὰ τὸ ἐπ' αὐτοῖς καὶ ὅλῳ τῷ βουλγαρικῷ λαῷ κακοὺς κακίστης ἀνταρσίας καὶ διαφθορᾶς εἰσηγητὰς καὶ κήρυκας καὶ λαοφθόρων σκανδάλων σπορεῖς γεγονότας· συγκαθελοῦσα δὲ διὰ παραπλησίους λόγους καὶ τὸν συνένοχον Παΐσιον, καὶ τοὺς τρεῖς ἠνάγκαστο ἐπὶ χρόνον ὑπερορίσαι ἅτε δὴ καὶ μετὰ τὴν καθαίρεσιν τῇ κακοτρόπῳ μὲν ἐπιμένοντας προαιρέσει, τοὺς δὲ σὺν αὐτοῖς ἀναταράττειν ἐκ παντὸς τρόπου ἐπιχειροῦντας. Ἵνα δὲ ἡ Σύνοδος μὴ μόνον παιδεύουσα φαίνοιτο τοὺς ἐν ἀταξίᾳ πρωταγωνιστήσαντας, ἀλλὰ καὶ τὴν πρὸς τὸν βουλγαρικὸν λαὸν ἐνδείξαιτ' αὖθις ἐξαίρετον καὶ ἀτεχνῶς μητρικὴν τῆς Ἐκκλησίας στοργὴν καὶ προσπαθεστάτην κηδεμονίαν, τρεῖς μὲν πάλιν ἐδωρεῖτο μητροπολίτας, Ἄνθιμον καὶ Πανάρετον καὶ Ἰγνάτιον, τὸν μὲν εἰς τὴν τοῦ Φιλίππου, ἐκεῖνον δὲ εἰς τὴν Πρεσλάβαν, τὸν δὲ Ἰγνάτιον εἰς τὸ Κεστεντήλιον, καὶ τοὺς σύντρεις τῆς βουλγαροσλαβικῆς φωνῆς ἐθάδας γνωριζομένους. Συνάμα δὲ καὶ προνομίας καὶ φιλοτιμίας ἔστιν ἃς ταῖς ἀνὰ τὴν Βουλγαρίαν παροικίαις εἰδικῶς ἐχαρίζετο, ἐν πεντεκαίδεκα μὲν ἄρθροις διατυπωσα-

Digitized by Google

μένη, τὴν δὲ εἰς τὸ διηνεκὲς ἰσχὺν αὐτῶν καὶ ἀσφάλειαν διά τε ἐγκυκλίου (τῇ κε' φεβρουαρίου ἐν τῷ αὐτῷ ἔτει ἐκδεδομένης) καὶ διὰ σουλτανικοῦ θεσπίσματος εἰσάπαξ κατοχυρωσαμένη.

ια'.) Αἱ μὲν οὖν πράξεις αὗται ταυτησὶ τῆς ἐκτάκτου Συνόδου οὐκ εἰς μακρὰν αἰσίως ἐκαρποφόρησαν· ἔνθεν μὲν γὰρ φραγμός τις ἐπετέθειτο ταῖς αὐθαιρέτοις τῶν περὶ τὸν Ἱλαρίωνα ἐπηρείαις· ἔνθεν δ' οὕτω λωφῆσ' ἐπεγένετο τὴν ἐκ τῶν βουλγάρων οὐνίαν, ὥσθ' οἵ γε πλείους τῶν ἀπάτῃ πτερνισθέντων, κἀκ τῶν κόλπων τῆς ὀρθοδοξίας ἀποσκιρτησάντων, ταχὺ τοὺς ἐξαπατήσαντας ἀπελάκτισαν. Καὶ δὴ ὁ μὲν παποχειροτόνητος ἐπίσκοπος Ἰωσὴφ Σοκόλσκης σὺν τῷ περὶ αὐτὸν πρεσβυτερίῳ τῇ ὀκτωκαιδεκάτῃ τοῦ μηνὸς ἰουνίου τοῦ αὐτοῦ ἔτους ἀφανὴς ἐγίγνετο, πολλά τε καλά τε πρότερον νουθετήσας καὶ ἐντειλάμενος τοῖς ὁμογενέσι μεμνῆσθ' ἀπιστεῖν ταῖς ὅθεν ποθὲν ἀναδυνούσαις ἀλώπεξιν, οὐδὲν ὅ,τι μὴ καθ πισχνουμέναις ὑπὲρ τοῦ ἀγρεῦσαι ψυχάς τε καὶ σώματα. Τὰ δὲ ἐν τῇ οὐνίᾳ περιληφθέντα συντρίμματα, ἑπταμήνου διεληλυθότος, μόλις εὕρισκε τὸν ἐπιτροπεύσοντα κοινωνικῶς παρὰ τῇ Ὑψηλῇ Πύλῃ Ἀραβαντζίσκην τινά, οὐνιτομανῆ διὰ τὸν μαμωνᾶν τῆς ἀδικίας, ἀλλ' οὐ κατ' ἐπίγνωσιν. Ἀλλ' ἔμπης οἱ τοῦ βουλγαριστικοῦ φυλετισμοῦ θερμότεροι θιασῶται καὶ πρόμαχοι, οὕτως ἐμφανῶς καὶ κραταιῶς ἀναχαιτισθέντες ὑπὸ τῆς Ἐκκλησίας, ἑτέραν ἐτράποντο, καὶ μάλα σκολιάν, εὐτυχεστέραν δ' αὐτοῖς ἀτραπόν. Τὴν γὰρ τῶν ὁμοτρόπων ψευδεπισκόπων κάθαίρεσιν δολίως ἡρμηνευκότες ὡς ὅλου τοῦ βουλγαρικοῦ λαοῦ βαρὺν ἀφορισμόν, οὕτω τὰς ἐπαρχίας ὑπεξέκηαν καὶ ἠγρίαναν, ὡς ἐνιαχόθεν μὲν πάντας, μικροῦ δεῖν, τοὺς παρὰ τῆς Μεγάλης Ἐκκλησίας σεπτοὺς ἱεράρχας ἑνὶ συνθήματι ἤτοι ἀνάγκῃ ἀπελαθῆναι, ἢ ἀεικῶς ὑβρισθῆναι, ἢ τὸ ζῆν λιμῷ τε καὶ χειρὶ ἐπαπειληθῆναι, καὶ ὥσπερ ἀλλοφύλων καὶ ἀλλογενῶν (καὶ τοῦτο γὰρ ἐλοιδόρησαν ἡμᾶς, ὃ ἡ Γραφὴ οὐκ

Digitized by Google

ἄλλοις νέμει, ἢ τοῖς ἀλλοθρήσκοις, ἐξονειδίζουσα) οὐκ ἐθελησάντων συναποστῆσαι, ἐξηλεῖφθαι αὐτῶν τὰ κανονικὰ μνημόσυνα ἐν ταῖς ἱεραῖς μυσταγωγίαις καὶ ἁγιστείαις, ἵνα παναθέσμως μνημονεύοιτο τὰ τῶν κανονικῶς καθῃρημένων καὶ ἀποστάντων· καὶ καλὸν λοιπὸν καὶ ἀναπεπταμένον, ἀφύλακτόν τε καὶ ἀποίμαντον ποίμνιον τῇ τε ἀγυρτείᾳ ἱερέων βαναύσων καὶ ἀσυνειδήτων ἢ καὶ ψευδωνύμων καὶ τῇ λύττῃ θηρῶν ἁρπαλέων καταλελεῖφθαι· πάνυ δὲ χρηστῆς καὶ φιλομαθεστάτης φύσεως ἁβροὺς βουλγαρόπαιδας τῶν ἑλληνικῶν διδακτηρίων ἀποσπασθέντας, αὐτῇ χειρὶ τῶν οἰκείων βουλγαριστῶν γεννητόρων, σχολαῖς ἑτεροδόξοις ἐκδίδοσθαι τὰ ἔκφυλα διδασκούσαις καὶ τῶν πατρίων ὑπεροπτικά.

ιδ'.)Οὐδὲ μὴν ἔστερξαν τὰ ἰδιωτικὰ καὶ ἐπαρχιακὰ καθ'ἑαυτοὺς διαπραττόμενοι ἀτακτήματα· ἀλλὰ πενταμήνου μὲν ἄρτι διεληλυθότος ἀπὸ τῆς συγκροτήσεως τῆς προρρηθείσης μεγάλης Συνόδου, ἤδη δὲ καὶ τῶν κοινῶν κανονισμῶν καὶ τῶν μνησθέντων πεντεκαίδεκ' ἄρθρων κεκυρωμένων, βούλγαροί τινες τῶν τὰ πρῶτα φέρειν δοκούντων ἐν τῇ σπείρᾳ, ἀνενεχθέντες μὲν τῇ ὑψηλῇ κυβερνήσει δι' ἱκετηρίας περὶ τοῦ ἐκκλησιαστικοῦ τῶν βουλγάρων χωρισμοῦ ἀπὸ τοῦ γραικικοῦ Πατριαρχείου (οὕτω γὰρ καλεῖν εἰώθασιν οἱ φυλετισταὶ τὸν καθ' ἡμᾶς ἁγιώτατον, ἀποστολικὸν καὶ Οἰκουμενικὸν Θρόνον), οὐ μὴν εἰσακουσθέντες, ἀλλ' ἕτερα προτραπέντες αἰτήσασθ' αἰτήματα, ἅττ' ἂν ἐθέλωσι, περὶ τῆς κατ' αὐτοὺς ἐκκλησιαστικῆς καὶ ἐθνικῆς διοικήσεως, ἐπέδοσαν αὐτῇ (τῇ θ' ἰουνίου τοῦ ͵αωξα' ἔτους) ὀκτὼ προτάσεις, ἃς ἡ ὑψηλὴ καὶ φιλυπήκοος κυβέρνησις οὐκ ὤκνησεν ἡμιεπισήμως συστήσασθαι τῇ κρίσει καί, εἰ ἔνι, τῇ ἀποδοχῇ καὶ ἐγκρίσει τοῦ οἰκουμενικοῦ πατριάρχου. Ἡ δὲ αὐτοῦ παναγιότης, ὁ σεβασμιώτατος κὺρ Ἰωακεὶμ μετὰ καὶ τῆς περὶ αὐτὸν ἱερᾶς Συνόδου ἐξ ἑτοίμου ἀπεκρίναντο, τὸ ἀσυμβίβαστον ἀποδεικνύντες πρὸς τοὺς ἱεροὺς κανόνας καὶ τὰ καθεστῶτα τοῦ Πατριαρχείου. Ἡ μέν τοι ὑψ.

Digitized by Google

κυβέρνησις, ἔτος ὅλον ἀναμείνασα καὶ τῶν ἐκκλησιαστικῶς στασιαζόντων τὴν ὁρμὴν οὐ βίᾳ μετελθεῖν προθυμουμένη, ἀλλὰ μαλακωτέροις καὶ ἠπίοις τρόποις καθυφιέναι ἠρέμα καὶ χαλινοῦν, προεκαλέσατο διαγγέλματι ὑπουργικῷ (τῇ κδ' ἀπριλίου τοῦ ͵αωξϐ' ἔτους) τὴν σύστασιν μικτῆς ἐπιτροπῆς ἀπὸ γραικῶν ὁμοῦ καὶ βουλγάρων ἀνὰ πέντε, ἣ καὶ διετίαν που μάλα δυσχερῶς καὶ ἐν ἀντιφωνίᾳ συνεργασαμένη παρὰ τῇ ὀθωμανικῇ Πύλῃ (οὐ γὰρ ἐν τοῖς Πατριαρχείοις, εἰς ἃ καὶ ἀντιβλέψαι τισὶ τούτων τῶν φυλετιστῶν δοκεῖ ἀπαίσιον), ἐξ ἀνάγκης προσήραξέ τε καὶ ἐναυάγησε κατὰ τῆς αἱρετικῆς ὑφάλου τοῦ πληθοφυλετισμοῦ. Καὶ τηνικαῦτα δὲ τὰ μέλη τῆς ἐπιτροπῆς, ὅσα μὴ βούλγαροι, ἀποχωροῦντες τοῦ ἀκάρπου τούτου συνεδρίου ὑπέβαλον τῷ ὑψηλοτάτῳ ὑπουργῷ τὴν περὶ ὧν καὶ ὅπως εἰργάσαντο, καὶ ὧν τὰ βουλγαρικὰ μέλη παρεμβεβλήκεσαν πρὸς τὴν νόμιμον εἰρήνευσιν ἀνυπερβλήτων προσκομμάτων ἔκθεσιν. Πάλιν οὖν αὖθις ἡ τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία, τὴν πατριαρχείαν διαδεξαμένου τοῦ παναγιωτάτου κὺρ Σωφρονίου, προτροπῇ μὲν τῆς ὑψηλῆς κυβερνήσεως οὐκ ἄκουσα πειθομένη, οἴκτῳ δὲ μητρικῷ καμφθεῖσα ὑπὲρ τοσούτων προβάτων, τῷ τιμίῳ αἵματι τοῦ Θεανθρώπου ἐξηγορασμένων, ἀποιμάντων δὲ ἀποβουκολουμένων τε καὶ διαρπαζομένων πρὸς τοῦ παρατυχόντος, καὶ διὰ τοῦτο σπουδῇ ζεούσῃ τῆς ἐπιμελοῦς ἐρεύνης ἐπιλαβομένη τῶν ὀκτὼ τούτων βουλγαρικῶν προτάσεων, καὶ ἐπὶ κοινοτέρᾳ διασκέψει περὶ τῶν αὐτῶν γενικὴν συνέλευσιν προσκαλεσαμένη (τῇ κδ' φεβρουαρίου τοῦ ͵αωξδ' σωτηρίου ἔτους), ἐκ δὲ τῶν αὐτῆς λογιωτέρων μελῶν ἐννεαμελῆ διαφωτιστικὴν ἐπιτροπὴν ἐκλεξαμένη, σαφέστερόν τε καὶ στηματικώτερον φωράσουσαν τὰ ἀντικανονικὰ καὶ πλημμελῆ μετὰ τοῦ σαφηνίσαι τὰ εὔλογά τε καὶ δίκαια, καὶ μετὰ ἑπτὰ συνεδριάσεων συνδιασκέψεις τὴν προσήκουσαν ἀπάντησιν συνταξαμένη, οἵαν ἡ τῆς συνελεύσεως πλειονότης ἐπιεικέστερον ὑφηγεῖτο, παρέπεμψεν αὐτὴν

Digitized by Google

πρὸς τὴν ὑψηλὴν κυβέρνησιν, δι' ἧς καὶ πᾶσαι αἱ βουλγαρικαὶ προτάσεις πρὸς τὴν Ἐκκλησίαν διεπέμποντο.

ιγ'.) Καί τοι γὰρ οὐδ' ὁ τοσοῦτος ἀγὼν τῶν ἐπιτροπῶν τούτων καὶ τῶν συνελεύσεων τερματιεῖν τὸ δρᾶμα τοῦτ' ἤμελλεν, οὐδ' ἐγγύς· οὔπω δὲ ὅλη διετία διήνυστο, καί, ἐπεί περ οὐ διέλειπον ἀνένδοτοι τὴν κατὰ τῆς Ἐκκλησίας ὑποτρέφοντες ἐπανάστασιν οἱ ὑπηρέται καὶ πράκτορες τοῦ βουλγαριστικοῦ φυλετισμοῦ, τούτων, ὡς εἰκάσαι, τῇ ἀπαραιτήτῳ καὶ δυσαπαλλάκτῳ φορτικότητι ἐνδιδοὺς αὖ πάλιν ὁ καὶ μάλ' ἀνεκτικώτατος ὑπουργὸς παρέπεμπεν εἰς τὰ Πατριαρχεῖα (τῇ κς' ἀπριλίου τοῦ ͵αωξς' σωτηρίου ἔτους) ἑτέρας ἓξ βουλγαριστικὰς προτάσεις, ὁμοίως ταῖς προλαβούσαις, ἰδέας καὶ ταύτας πληθοφυλετικῆς καὶ στασιώδους* ἔργῳ βεβαιούσας, ὅτι ἐπὶ ψάμμου κτίζει καὶ τὸν αἰθίοπα λευκαίνει εἴ τις ἀρέσκειν ἀνθρώποις ἐπιχειρεῖ, ἤτοι ἐν δευτέρῳ λόγῳ τὸ θρήσκευμα ποιουμένοις, ἢ τὰ ἴδια καὶ ὑλικὰ ὑπεράνω πάντως δῆτα τῶν πνευματικῶν καὶ δημοσίων τιθεμένοις, οἷοι ἀνομολογοῦνται οἱ πρωτουργοὶ τοῦ δράματος. Πλὴν ἀλλ' οὐδαμῶς διὰ τὴν τηλικαύτην ἰσχυρογνωμοσύνην ἀποναρκήσασα ἢ ἀθυμήσασα ἡ καθ' ἡμᾶς Ἐκκλησία, ἀπείπατο τοῖς ὅλοις μὴ οὐ πολυπραγμονῆσαι καὶ περὶ αὐτῶν δὴ τῶν προτάσεων καὶ τὰ εἰκότα συσκέψασθαι· ἀλλὰ τετληότι καὶ ἀνεξικάκῳ νῷ, ἀναλαβοῦσα τάξιν ἀπαθοῦς καὶ μάλα φιλοστόργου μητρὸς, οὐδὲν ὅ,τι μὴ πάθημα ὑπομενούσης ἕως ἂν σωθῇ αὐτῇ τὸ τεκνίον, ἐκ καινῆς αὖθις τὴν γενικὴν ἐκάλει συνέλευσιν, τὴν ἐκ λογάδων κληρικῶν ὁμοῦ καὶ λαϊκῶν, ἢ ἐκ τῶν αὐτῆς εὐδοκιμούντων ἐμπειρίᾳ καὶ σπουδαιό-

(*) Ἀδιανόητον ἐνταῦθα καὶ λίαν ἐπτυγμένον τὸ χωρίον· ἀλλ' οὕτως ἔκειτο ἐν τῷ ἐν τύπῳ φυλλαδίῳ· τὸ δὲ χειρόγραφον τοῦ πρωτοτύπου συνοδικοῦ τούτου γράμματος οὐ κατετέθη πιθανῶς ἐν τῷ πατριαρχικῷ γραμματοφυλακείῳ, ἅτε παραδοθὲν εἰς τύπον.

Digitized by Google

τητι μελῶν ἐξαμελῆ ἐπιτροπὴν ἐξελέξατο, τὴν ἐκμελετήσουσαν καὶ σταθμησομένην τὴν τῶν προτάσεων τούτων δύναμιν. Ἡ οὖν ἐπιτροπὴ, οὐ μόνον τὰς προτάσεις ἀναλύσασα, ἀπεδείκνυ, ὡς εἰκὸς, κανονικῶς τε καὶ κοινωνικῶς ἀπαραδέκτους οὔσας, ἀλλὰ τὸ ἀξιολογώτερον, ἴδιον σχεδίασμα παρεσκεύασε, ζητοῦσα λύσιν θεμιτὴν μὲν οὐσιωδῶς, ἐπιτηδείαν δὲ, εἰ δυνατὸν, μήτε τοῖς βουλγάροις ἀπαρέσκειν, μήτε τοῖς ἄλλοις ὀρθοδόξοις δόξαι διασπᾷν τὴν τοῦ θρόνου διοικητικὴν ἑνότητα.

ιδ΄.) Ἤδη δὲ τῆς ἐπιτροπῆς ταύτης πρὸς τῷ τέρματι, ὅσον οὐκ ἤδη, γεγονυίας οὗ ἐπετέτραπτο ἔργου καὶ φροντίσματος, ἐπὶ ἐνιαυτὸν, ὀλίγου δεῖν, αὐτὴν ἐνησχοληκότος, μάλιστα διὰ τὸ δυσκάμπτως ἔχον πρὸς τὸ θέλειν μεταπείθεσθαί τε καὶ ἀναδιδάσκεσθαι τὰ ὀρθὰ βουλγαρογενὲς (ὡς γοῦν αὐτὸς αὐτὸν ὀνομάζει) ἕκτον μέλος (ἦν δὲ οὗτος ὁ Φιλιππουπόλεως Πανάρετος, πολλῷ χείρων τοῦ προκατόχου γενόμενος τὴν προαίρεσιν), ὑπεχώρει μὲν τοῦ θρόνου ὁ προκάτοχος ἡμῶν παναγιώτατος κὺρ Σωφρόνιος, ἀνακαλούμεθα δὲ ἡμεῖς, ἐλέει τοῦ Κρείττονος, σὺν πολλῇ τῇ δειλίᾳ καὶ ἀθυμίᾳ, ὅπως δὲ δήποτε, καὶ δεύτερον ὑποδύντες τὸν ζυγὸν τοῦ Κυρίου, αὐτίκα πρώτιστον ἐποιησάμεθα μέλημα εἰς πέρας ἀγαγεῖν ὡς τάχιστα τὴν κανονικὴν καὶ, καθ' ὅσον ἐφικτὸν, ἑκατέροις οὐκ ἄχαριν τούτου δὴ τοῦ πολυκρότου βουλγαρικοῦ καλουμένου ζητήματος λύσιν. Εἰς τοῦτο γὰρ πολλῶν ἡμᾶς καὶ μεγάλων ἐξοτρυνόντων καὶ κατεπειγόντων, μέγιστον ἐδόκει, ὃ καὶ τῇ Ἐκκλησίᾳ διαφερόντως ἀνιαρὸν καθειστήκει, τὸ τηλικοῦτο, φαμὲν, ἐπιδήμιον καὶ λοιμῶδες σκάνδαλον τῆς ἐνίων τῶν ἡμετέρων βουλγαρικῶν τέκνων ἐκκλησιαστικῆς ἀνταρσίας, ὃ καθ' ἡμέραν διαδιδόμενον ἐν τῷ ἀλλήλους ἀνερεθίζειν, καὶ τῷ χρόνῳ ταῖς ψυχαῖς ἐνιζάνον καὶ παγιούμενον, ταῖς δὲ νεωτέραις ἡλικίαις ἠρέμα καὶ κατὰ μικρὸν ὑπειςερπύζον καὶ συντρεφόμενον, πάνδημον ἠπείλει καὶ ἀνίατον ἀποβήσεσθαι νόσημα, σὺν τῷ ψυ-

Digitized by Google

χικῷ ὀλέθρῳ καὶ τὸν ἀκρωτηριασμὸν ἐπάγον τοῦ ἐνιαίου καὶ συμπαγοῦς σώματος τῆς Ἐκκλησίας. Ταῦτα τοίνυν οὐκ ἐν παρέργῳ διανοούμενοί τε καὶ ἀναπεμπάζοντες, καὶ τὴν βαρεῖαν, ἣν ἀνειλήφαμεν, εὔθυναν ἐνώπιον αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν οὐ κατὰ πάροδον ἐνθυμούμενοί τε καὶ δεδιότες, καὶ μὲν δὴ καὶ τὸν ἄνωθεν μετὰ δακρύων ἐπικαλεσάμενοι φωτισμὸν, σπουδαιότερον ἀναθεωρῆσαι καθ' ἑαυτοὺς τὴν ὑπόθεσιν ὡρμήθημεν, ὅσον γ' ἐνῆν ἀπὸ τῶν ἄλλων μεριμνῶν τῆς πατριαρχείας σχολάσαι, τῶν δὲ ἐν τῷ πρόσθεν παρῃγμένων παντοίων ἐπὶ λύσει τῆς διαφορᾶς σχεδίων οὐδενὸς, ὡς ἔπος εἰπεῖν, ὀλιγώρως ἔσχομεν, ὅπως δὴ ῥᾷον τοῦ ἐπιδιωκομένου περιγενοίμεθα. Τούτων τοίνυν τ' ἄλλα τὰ πρότερα σαφῶς ἤδη καταμεμαθηκότες, καί τοι πόρρω τῆς ὑπὲρ βουλγάρων ἐπιεικείας καὶ συγκαταβάσεως ἐλάσαντα, ὅμως ἀνεπαρκῆ τοῖς στασιάζουσι καὶ ἀδόκιμα ἀποδεδειγμένα, ὅτι μὴ τοῖς ὅλοις αὐτοῖς ἐνεδίδου, καθὰ γοῦν ἡμᾶς ἐδίδασκεν ἥ τε ὑψηλὴ κυβέρνησις καὶ τὰ πράγματα, τούτῳ μᾶλλον τῷ τῆς ἑξαμελοῦς ἐπιτροπῆς σχεδιάσματι προσέσχομεν καὶ συνεπεστήσαμεν τὴν διάνοιαν. Τὴν μὲν οὖν αὐτοῦ τῶν διατάξεων γενικότητα οὐκ ἀσυντελῆ τινα καθ' ὅλου τοῖς καθ' ἡμᾶς πράγμασι τάχα γενέσθαι δυναμένην σαφῶς ἑνεωρακότες, καὶ ἕνεκά γε τούτου ἐπαινέσαντες δεόντως τὸ πονηθὲν, μερικώτερον μέν τοι μηδὲ τοῦτ' ἂν εὐδοκιμῆσαι, ἀποβληθῆναι δ' ἂν μᾶλλον ὑπειληφότες, ὡς ἀπὸ τῶν προλαβουσῶν εἰκάσαι παραχωρήσεων, παρ' ἀνθρώπων ἅπαν μονονοὺ τὸ ἐν ταῖς Συνόδοις ἐνὸν θεῖον καὶ ἱερὸν βεβηλῶσαι καὶ ἐξανθρωπίσαι γλιχομένων, καὶ θεωρίας τοῦ νῦν αἰῶνος ὑπεράνω θέσθαι τῶν πνευματικῶν πάντα κάλων κινούντων τε καὶ φιλονεικούντων, ἑτέραν ἐξ ἀνάγκης τραπέσθαι ὁδὸν ᾠήθημεν· ἐδόκει γὰρ τῇ ἡμῶν μετριότητι καὶ τῇ σὺν ἡμῖν ἱερωτάτῃ Συνόδῳ τῶν μητροπολιτῶν, ἡμῶν αὐτῶν ἴδιον παρασκευάσαντας σχέδιον, ἥκιστα μὲν ὑπερβαίνειν τολμῶν τὰ πανα-

Digitized by Google

γῆ καὶ ἀδαμάντινα τῶν ἱερῶν κανόνων θριγκώματα, μετρίαν δέ τινα τὴν παραμείωσιν ἐνεισάγον ἐν ταῖς τοῦ θρόνου τούτου πατριαρχικαῖς καὶ διοικητικαῖς προνομίαις ὑπὲρ τῶν ἀγαπητῶν ἐν Χριστῷ βουλγάρων, ἰδιωτικώτερον αὐτὸ τοῖς κορυφαίοις ἀνακοινοῦσθαι τῶν ὑπουργῶν, καὶ τούτων ἀναμένειν τὴν ὡς τοὺς βουλγαριστὰς διοχέτευσιν. Τοῦθ' ὃ δὴ καὶ γέγονεν ἤδη ἐν μηνὶ Ἰουνίῳ τοῦ παρεληλυθότος ἐνιαυτοῦ.

ιε'.) Οὕτω δὲ μετὰ χρησιμωτέρων τῶν ἐλπίδων καὶ ἀμεριμνότερον ἡμῖν ἀπεκδεχομένοις τὴν παρὰ τοῦ Ὑπουργείου ἔγκρισίν τε καὶ ὑποστήριξιν καὶ τὴν ὡς ἔνι μάλιστ' ἀπροφάσιστον τοιούτου σχεδίου παρὰ τῶν βουλγάρων παραδοχὴν, οὗ πέρα εἴσω τοῦ φραγμοῦ τῶν ἱερῶν κανόνων καὶ τοῖς στασιάζουσιν ἀρέσκον οὐκ ᾔδειμεν ἕτερον, ἐξάπινα τὸν παρεληλυθότα μῆνα τούτου δὴ τοῦ ἐπὶ δυσμὰς δρόμῳ ἐλαύνοντος ἔτους, ὑπουργικὸν διάγγελμα παρέπεμπέ τε καὶ συνίστα ἕτερα δύο σχέδια εἰς λύσιν τῆς διαφορᾶς, ἐντελλόμενον ἤτοι τούτων θάτερον ἀσπάσασθαι, ἢ τρόπον ἕτερον ὑποδεικνύναι, οὐχ ὅστις γε καὶ τοὺς βουλγαριστὰς ἑλκύσει, καὶ τὴν ἐκκλησιαστικὴν παράδοσιν σὺν τῇ κατὰ τὸ Εὐαγγέλιον ἀφυλετίστῳ ἑνότητι φυλάξει τε καὶ βεβαιώσει, ἀλλ' ἁπλῶς τοιοῦτον, οἷον παρ' ἑκατέρων δοκιμασθῆναι καὶ ἐγκριθῆναι, ὥσπερ τῆς τῆς λύσεως ὀρθότητος οὐκ ἀπὸ τῆς τῶν Γραφῶν καὶ τῶν Συνόδων ἀπαραχαράκτου ἀληθείας, ἀλλ' ἐκ θελήματος ἀνθρώπου, ἄλλοτ' ἄλλου καὶ γεηροῦ, κρεμαμένης.

Τὰ οὖν σχέδια ταῦτα ἐφάνη ἡμῖν, ἰδίᾳ τε καὶ ἐν κοινῷ σκοπουμένοις, πολὺ τὰ προλαβόντα πάντ' ἀπολελοιπέναι, τὴν ἀντικανονικότητα, ἀπαρακαλύπτως μὲν καὶ ἀνακεκηρυγμένως διαγράφοντα καὶ καθορίζοντα τὴν κατὰ φυλὰς καὶ πλήθη ἀσεβῆ καὶ βέβηλον διχοτομίαν τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, τοὺς δὲ ἀνυπερβάτους ὅρους τοῦ ἱερατεύειν καὶ ἐπισκοπεῖν συγχέοντα οὐ μόνον ἐν τῇ πατριαρχικῇ περιφερείᾳ καὶ πάσαις τῶν ἁπανταχοῦ

Digitized by Google

ἐπισκοπῶν καὶ μητροπόλεων, οὗ ἂν συναυλίζωνται βούλγαροι, ἀλλ', ὃ ἀνύποιστον καὶ ταραχωδέστατον, καὶ ἐν παντὶ οἴκῳ χριστιανικῷ, ἐν ᾧ ἂν μέλος ἓν ἢ πλείω, ἀνὴρ ἢ γυνὴ, ἢ τῶν τις οἰκετῶν καὶ θεραπόντων, τύχῃ τὸ γένος ἕλκειν δοκῶν ἐκ βουλγάρων· καὶ ἄρδην ἄρα καὶ προθέλυμν' ἀνατρέπειν ἐπειγόμενα πάντα τὸν τῆς Ἐκκλησίας διὰ πάντων τῶν αἰώνων ἀσφαλῆ καὶ μόνιμον εὐαγγελικόν τε καὶ συνοδικὸν διάκοσμον, μάλιστα τὸν ἠθικὸν καὶ διοικητικόν. Ἔνθεν τοι καθ' ἕκαστον ἄρθρον ἐπιμελῶς βασανισθέντων, καὶ τοῖς ἱεροῖς κανόσι καὶ τῇ λοιπῇ ἐκκλησιαστικῇ καὶ ἱερᾷ παραδόσει παρεξετασθέντων καὶ ὡς οἷόν τ' ἀποχρώντως ἀνασκευασθέντων, γνώμῃ τε καὶ κρίσει ἰδίᾳ καὶ κοινῇ, παρὰ ἐκτάκτου ἱερᾶς Συνόδου ἀπὸ τῶν ἐνδημούντων ἱερωτάτων μητροπολιτῶν καὶ τῶν ὁσιωτάτων ἀρχιμανδριτῶν καὶ διδασκάλων συγκροτηθείσης, ἡ μετριότης ἡμῶν ἀπέσταλκεν ἤδη τήν τε ἀνασκευὴν καὶ τὴν προσήκουσαν ἀπάντησιν τῷ ὑπουργῷ, οὐ τρόπον ἕτερον λύσεως (οὐδὲ γὰρ ἦν ἡμῖν ἐξευρεῖν ἔτι) συναποδεικνῦσα εὐθαρσῶς καὶ ῥήμασιν ἀνενδοιάστοις παρὰ τὴν συγκρότησιν ἁγίας Οἰκουμενικῆς Συνόδου ἀπὸ πάσης τῆς καθόλου ὀρθοδόξου Ἐκκλησίας, σώματος ἁγίου, πᾶσαν ἀξιοπιστίαν φέροντος ψήφου θεοκράντου καὶ ἀπαρατρέπτου, καὶ οὐχ' ἧττον αἰδεσίμου καὶ τιμίου ἐσομένου τοῖς ἄρχουσιν ἡμῶν, ἢ καὶ σεβασμιωτάτου, καὶ διαφερούσης προσοχῆς ἀξίου, ἐὰν μὴ πᾶσι τοῖς ἐπονομάζουσιν ἑαυτοὺς ἀντιπροσώπους τῶν βουλγάρων, ὧν ἡγοῦνται οἱ καθῃρημένοι ἐπίσκοποι, ἀλλὰ πάντως σύμπαντι τῷ ἐκ πατέρων εὐσεβοῦντι βουλγαρικῷ λαῷ καὶ τοῖς εὖ φρονοῦσι προστάταις αὐτοῦ.

ιϛ'.) Τοιαῦτα, σεβασμιώτατοι καὶ λίαν ἡμῖν ἐν Χριστῷ περιπόθητοι ἀδελφοὶ καὶ συλλειτουργοί, τοιαῦτα, ὡς ἐν κεφαλαίῳ, καὶ παραπλήσια τὰ κατὰ τὴν διαβόητον μοίρας τινὸς βουλγαρογενοῦς ἢ βουλγαροφώνου (οὐ γὰρ τοῦ ὅλου οὐδὲ τοῦ πλείονος λαοῦ

Digitized by Google

τῶν βουλγάρων) ἐκφυλετιστικὴν καὶ ἀσύμφυλον καχεξίαν καὶ ἐπανάστασιν ἐν τῷ κόλπῳ τῆς καθ' ἡμᾶς ἁγιωτάτης Ἐκκλησίας, καχεξίαν, ἐξ ἧς (ὃ μὴ γένοιτο) εἰ διαδίδοιτο, κινδυνεύσειαν μετὰ βραχὺ αἱ Ἐκκλησίαι πᾶσαι τοῦ Χριστοῦ διασπασθῆναί τε καὶ ὑπ' ἀλλήλων σπαραχθῆναι τοῖς ὄνυξι τῶν γενεαλογιῶν καὶ μύθων, ὃ οὐδεμία ἴσχυσε ποιῆσαι τῶν προτοῦ αἱρέσεων μηδ' ἰσχύσειεν εἰς τὸν αἰῶνα, τῇ παντοδυνάμῳ χάριτι τοῦ συναγαγόντος τὰ ἐσκορπισμένα καὶ μίαν ποίμνην ἀπὸ πάντων τῶν ἐθνῶν τῆς ὑφηλίου συγκροτήσαντος. Ταῦτα δὲ δή, οὕτω τολμηθέντα καὶ ἀσεβηθέντα κατὰ τῆς πνευματικῆς αὐτῶν μητρός τε καὶ τροφοῦ καὶ εὐεργέτιδος παρὰ ἠγαπημένων ἐν τῇ πίστει γεννημάτων, τῶν βουλγάρων, πρὸς οὓς εἶχε λέγειν ἡ ἁγιωτάτη τῶν Φωτίων Ἐκκλησία, τὴν ἐν Κυρίῳ οὐκ ἀφρόνως καυχωμένη καύχησιν, τὰ ῥήματα τοῦ μακαρίου Παύλου «Εἰ ἄλλοις οὐκ εἰμὶ Ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι· ἐν Χριστῷ γὰρ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα». (Κορινθ. Α' θ', 2— δ', 15). Χόλος τοσοῦτος παρὰ βουλγάρων εὐσεβῶν, χωρῶν μέχρι τοῦ ἐθέλειν ἐν πελέκει καὶ λαξευτηρίῳ τεκτήνασθαι τὸ ὄνειδος καὶ τὴν ταπείνωσιν τῆς ἑαυτῶν πνευματικῆς μητρὸς, διὰ δὲ τῆς ταπεινώσεως αὐτῆς ἐγεῖραι βουλγαρεθνικὸν, φασίν, ἐκκλησιαστικὸν οἰκοδόμημα ἐπὶ σαθρῶν θεμελίων καὶ ἀπὸ ὕλης σαπρᾶς, τῆς συκοφαντίας, τῆς μισαδελφίας καὶ τῆς ἀγνωμοσύνης· ὀργὴ τοσαύτη καὶ οὕτως ἀμείλικτος μετὰ τοσαῦτα καὶ τηλικαῦτα παρὰ τῆς Ἐκκλησίας μειλίγματά τε καὶ θωπεύματα. Τοιαύτη ὥσπερ ζάλη τις καὶ φλεγμονὴ ἠθική, ὠθοῦσα καὶ ἐκτραχηλίζουσά τινας βουλγάρους κατὰ τοῦ πρανοῦς νέων ἀεὶ καὶ ἀλλήλοις ἀνομοίων καὶ σχετλίων καὶ ἀντικανονικῶν προτάσεων καὶ αἰτημάτων καὶ εἰς ἀπέλασιν κανονικῶν καὶ ἀποστολικῶν ποιμένων, ὥστ' ἀφυλάκτους γενομένους, εὐεπιβάτους λοιπὸν τοῖς ἀγρεύουσι ψυχὰς καταστῆναι. Τοιαῦτα, φαμέν, σκυθρωπὰ καὶ τὸ

Digitized by Google

ἐπίπαν ἀπαίσια σκιρτήματα λαοῦ εὐσεβεστάτου, μαθητοῦ τῆς Ἐκκλησίας ταύτης γενομένου, καὶ συγκοινωνήσαντος αὐτῇ τῆς δόξης καὶ τῆς ἀτιμίας, τοῦ πλούτου καθάπερ καὶ τῆς ἀπορίας, τῶν στεφάνων καὶ τῶν ὀδυνῶν, καταλελύπηκε καὶ κατέδακεν ἡμῶν (πῶς δοκεῖς;) σφόδρα σφόδρα τῆς καρδίας, καὶ τὰ σπλάγχνα διέπειρεν· οἰόμεθα δ' ὅτι καὶ τῆς ὑμετέρας ἐν Χριστῷ περισπουδάστου τε καὶ σεβασμίας κορυφῆς οὐχ' ἧττον ἀνιάσει τὰς θεοφιλεῖς ψυχάς, εἰκότως, τά γε κοινὰ τῶν τοῦ Θεοῦ Ἐκκλησιῶν παθήματα, τόσῳ δριμύτερα καὶ χαλεπώτερα ἐνσκήψαντα, ὅσῳ ἐκ τῶν οἰκείων· «Εἴτε γὰρ πάσχει (φησὶν) ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη». (Κορινθ. Α' ιϛ', 26.) Διὸ δὴ μᾶλλον καὶ τῇ ὑμετέρᾳ γεραρᾷ καὶ σεβασμίᾳ ἐν Κυρίῳ ἀδελφότητι, καθὼς καὶ πᾶσι τοῖς λοιποῖς προέδροις τῆς καθόλου Ἐκκλησίας, ἔθει παλαιῷ καὶ θεοφιλεστάτῳ κατακολουθοῦντες, τὰ γεγονότα περιληπτικῶς, ὅσον ἐξῆν, καὶ κεφαλαιωδῶς γνωρίσαι, νῦν ὀψὲ γοῦν, ἥδιστα ἐδικαιώσαμεν· ὥστε καὶ αὐτήν, ἀγαθυνθεῖσαν ἀποστολικῶς καὶ φιλαδέλφως, μηδαμῶς τὴν τάξιν λείπειν, ἣν οἱ πατέρες παρέδοσαν· ἀλλὰ πρόθυμον ἀναφανῆναι καὶ συναγωνιστὴν καὶ συναντιλήπτορα, ὅπου σύντριμμα λαοῦ καὶ ψυχῶν ἀπώλεια, νυνὶ μὲν γράμμασιν αὐτῆς ἀποκριτικοῖς παραμυθουμένην τὰ εἰκότα καὶ συνεπιρρωννῦσαν πόρρωθεν· ὅταν δέ, σὺν Θεῷ φωτίζοντι καὶ εὐδοκοῦντι (καὶ τῆς ἐφ' ἡμᾶς αὐτοκρατορικῆς ἐπινευσάσης ἂν δηλονότι κυβερνήσεως), συναγείρηται καὶ συγκροτῆται ἡ ἐφ' ἣν ἐξεκαλεσάμεθα τὸ ζήτημα ἁγιωτάτη τῆς καθόλου Ἐκκλησίας Σύνοδος, τηνικαῦτα καὶ αὐτὴν παρουσιάζουσαν καὶ συμπαραστατοῦσαν. Ἀγαθοὶ μὲν γὰρ οἱ δύο ὑπὲρ τὸν ἕνα, καὶ πολλῷ πλέον οἱ πλείους, εἰς τὸ μεταδιδάξαι καὶ συνετίσαι τὸν ἡμαρτηκότα καὶ ἀκμὴν ἐξαμαρτάνοντα ἀδελφόν, ἄλλως τε καὶ τῆς κατ' αὐτὸν Ἐκκλησίας οὐχὶ ἅπαξ οὔτε δὶς καταφρονοῦντα καὶ

Digitized by Google

παρακούοντα (Ματθ. ΙΗ', 16—17.) Οἴδαμεν δὲ τῆς ὀρθοδόξου πίστεως, τῆς περὶ τὸ δόγμα ὁμοίως καθάπερ καὶ τῆς περὶ τὴν πρακτικὴν ἀκρίβειαν, τῶν δύο τούτων χαριτοβρύτων πυξίων τοῦ παναγίου Πνεύματος, οὐχ' ἕνα τινὰ μόνον καθ' ἕκαστον, ἀλλὰ καὶ συλλήβδην πάντας τοὺς ἁπανταχοῦ ἐπισκόπους καὶ ποιμένας παρὰ Κυρίου τεταγμένους διδασκάλους καὶ φύλακας, καὶ ὅσῳ περ τῶν ἄλλων εὐσεβῶν ὑπερέχουσι τοσοῦτο νομοφυλακεῖν ὀφείλοντας ἰδίᾳ καὶ κοινῇ εἰς τὴν τῶν Ἐκκλησιῶν εὐστάθειαν καὶ τὴν τῶν ποιμνίων σωτηρίαν. Τοιγαροῦν ὑπτίαιν ταῖν χεροῖν καὶ ἀναπεπταμένῃ καρδίᾳ καὶ τὰ παρὰ τῆς ὑμετέρας γερασμίας καὶ θεοφρουρήτου κορυφῆς ἀπεκδεχόμενοι ἐπίχαιρα γράμματα, ἐν ἀδελφικοῖς τοῖς χείλεσι καὶ ὁλοψύχως τὸν ἐν Χριστῷ τῷ Θεῷ ἀδελφικὸν ἀσπασμὸν αὐτὴν πάλιν καὶ πάλιν κατασπαζόμεθα.

Ὁ δὲ τῆς μιᾶς, ἁγίας, καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας δομήτωρ καὶ τελειωτὴς καὶ κυβερνήτης Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ὁ πρῶτος καὶ μέγας καὶ αἰώνιος ἀρχιερεὺς, ὁ σφάγιον ἑαυτὸν ἑκούσιον ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας καλλιεργησάμενος, καὶ μόνος τοῦ παντὸς εἰρηνάρχης, αὐτὸς καὶ τοῖς τέκνοις αὐτοῦ χαρίζοιτο καρδίαν σαρκίνην καὶ ὦτα εἰς ἀκοὴν πίστεως, τῆς ἐν τῇ πράξει καὶ τῇ θεωρίᾳ πατροπαραδότου πίστεως, καὶ τῶν τῆς Ἐκκλησίας μητρικῶν νουθετημάτων, ἥτις ἐστὶ στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας. Τῇ δὲ Ἐκκλησίᾳ πάσῃ δοίη πλάτυνσιν καὶ στηριγμὸν ἐν τῇ ἑνότητι τοῦ Πνεύματος καὶ ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης, εἰς δόξαν Πατρὸς, Υἱοῦ καὶ ἁγίου Πνεύματος, τῆς μιᾶς ὑπεραρχίου θεότητος καὶ βασιλείας, παρ' ἧς καὶ τὰ ὑμέτερα σεβάσμια ἔτη κρείττω γίγνοιτο πάσης ἐπηρείας, καὶ ὄλβια, καὶ πανευφρόσυνα, καὶ τοῖς ὑπ' αὐτῆς ποιμαινομένοις πᾶσι σωτήρια. Ἀμήν.

͵αωξη', δεκεμβρίου ις'.

ΣΗΜ. Τὴν πατριαρχικὴν καὶ συνοδικὴν ἐγκύκλιον ταύτην ἐπιστολὴν ὑπογράφουσιν οἱ τότε τὴν ἱερὰν Σύνοδον ἀποτελοῦντες μητροπολῖται Κυζίκου Νικόδημος, Χαλκηδόνος Γεράσιμος, Δέρκων Νεόφυτος, Διδυμοτείχου Διονύσιος, Βερροίας Σωφρόνιος, Δράμας Ἀγαθάγγελος, Φιλαδελφείας Μελέτιος, Γάνου καὶ Χώρας Χρύσανθος, Βοδενῶν Νικόδημος καὶ Κορυτσᾶς Νεόφυτος.

ΕΠΙΣΤΟΛΑΙ ΠΑΤΡΙΑΡΧΩΝ

ΚΑΤΑ ΤΩΝ ΤΡΙΩΝ ΣΧΕΔΙΩΝ
ΕΠΙΛΥΣΕΩΣ ΤΟΥ ΒΟΥΛΓΑΡΙΚΟΥ ΖΗΤΗΜΑΤΟΣ

ΠΡΟΣΗΜΕΙΩΜΑ

Ἀναφερόμενοι εἰς τὴν προσλαλιὰν τοῦ ἀοιδίμου οἰκουμενικοῦ πατριάρχου Γρηγορίου ΣΤ' τοῦ ἀπὸ Σερρῶν, τὴν ἐν τῇ συνελεύσει τῆς 15 νοεμβρίου 1868, ἐκδίδομεν ᾧδε τὰς ἐν αὐτῇ (ὅρα σελίδα 131 τῆς μετὰ χεῖρας ἐκδόσεως) ἀναφερομένας ἐπὶ τοῦ ἰδιωτικοῦ σχεδίου τοῦ Γρηγορίου κρίσεις τῶν σχολαζόντων πατριαρχῶν. Ὁ ἀναγνώστης βλέπει γνωμοδοτήσεις τεσσάρων πατριαρχῶν πρῴην Κωνσταντινουπόλεως, τὴν τοῦ ἀπὸ Νικομηδείας Ἀνθίμου τοῦ Βαμβάκη, τὴν τοῦ ἀπὸ Ἐφέσου Ἀνθίμου τοῦ Κουταλιανοῦ, τὴν τοῦ ἀπὸ Ἀμασείας Κυρίλλου καὶ τὴν τοῦ ἀπὸ Ἀμασείας Σωφρονίου τοῦ Βυζαντίου, ἤτοι τέσσαρας· ἐξ οὗ δείκνυται ὅτι κατὰ λάθος ὁ ἀείμνηστος Γρηγόριος ἔγραψε «τριῶν παναγιωτάτων καὶ σεβασμιωτάτων πατριαρχῶν» ἀντὶ «τεσσάρων».

Ταῖς ἀπαντήσεσιν ἢ μᾶλλον γνωμοδοτήσεσι ταύταις ἕπονται τῶν τριῶν (πλὴν τοῦ μακαρίτου Ἀνθίμου τοῦ ἀπὸ Ἐφέσου) σχολαζόντων πατριαρχῶν αἱ κρίσεις ἐπὶ τῶν ὑπουργικῶν δύο σχεδίων, μεθ' ἃς τάττεται, καθὸ βραδύτερον ἀποσταλεῖσα, ἡ

Digitized by Google

γνωμοδότησις τοῦ ἐν Ἀρτάκῃ διαμένοντος πατριάρχου πρώην Κωνσταντινουπόλεως Ἰωακεὶμ Β' Κοκκώδη τοῦ ἀπὸ Κυζίκου.

Προσθετέον τούτοις ὅτι τὰ ἀπὸ σελίδος 126—184 τοῦ παρόντος συγγράμματος ἐκδιδόμενα ἐπίσημα γράμματα ἐξεδόθησαν τύποις τῷ 1868, κατὰ νοέμβριον, εἰς σχῆμα Δον, ἐκ τοῦ τυπογραφείου τῆς διασήμου τότε παρ' ἡμῖν ἐφημερίδος «Βυζαντίδος», ἐν φυλλαδίῳ ἐκ σελίδων 55 (μετὰ καὶ μιᾶς παροραμάτων διορθουμένων), φέροντι τὸν τίτλον «Ἀπάντησις τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας πρὸς τὰ παρὰ τῆς Ὑψηλῆς Πύλης ἀρτίως ἀποσταλέντα ἔγγραφα περὶ τοῦ βουλγαρικοῦ ζητήματος».

Κατὰ τὴν ἐν ὑποσημειώσει τῆς σελίδος 33 τοῦ ἐν λόγῳ φυλλαδίου εἴδησιν, «ἐν ταῖς χειρογράφοις ἐπιστολαῖς, ταῖς πρὸς τὰς ἁγιωτάτας ὀρθοδόξους αὐτοκεφάλους Ἐκκλησίας ἐπεσταλμέναις, ἐπισυνήφθησαν ἕτερα δέκα τρία ἐκ τῶν σχετικῶν ἐγγράφων, διασαφοῦντα τὰ τοῦ κειμένου πρὸς ἀναγνώστας μακρὰν ὄντας καὶ ἀγνοοῦντας τὰ κατὰ μέρος. Ἐνταῦθα δὲ παρελείφθησαν». Ταῦτά εἰσιν αἱ καθαιρέσεις, τὰ σχέδια, αἱ βουλγαρικαὶ προτάσεις, αἱ ἀναιρέσεις αὐτῶν, τὸ τοῦ Γρηγορίου σχέδιον, καὶ εἴ τι συναφές· πάντα δὲ ἔχει ὁ εὐμενὴς ἀναγνώστης ἐν τῇ μετὰ χεῖρας ἐκδόσει ταύτῃ.

Γράμμα τοῦ πατριάρχου Ἀνθίμου Δ'

Τὴν ὑμετέραν θειοτάτην, σοφωτάτην καὶ σεβασμιωτάτην αὐτῆς Παναγιότητα ἀδελφικῶς ἐν Κυρίῳ κατασπαζόμεθα. Διὰ τοῦ ἁγίου Κρήτης καὶ ἁγίου Βοδενῶν ἐλάβομεν τὸ σεβασμιοπόθητον ἡμῖν ἀδελφικὸν αὐτῆς, καὶ εἴδομεν τὰ ἐν αὐτῷ σημειούμενα· ἀνέγνωμεν καὶ τὸ σχέδιον δίς, καὶ εὕρομεν αὐτὸ κατὰ πάντα σύμφωνον τοῖς ἐκκλησιαστικοῖς κανόσιν καὶ τῇ τάξει, καὶ πρὸς εὐχαρίστησιν τῶν ἀδελφῶν

Digitized by Google

ἡμῶν ὀρθοδόξων βουλγάρων· καὶ εἴθε διὰ τῶν παναγίων τῆς ὑμετέρας Παναγιότητος εὐχῶν, λάβῃ καὶ ἡ ὑπόθεσις αὕτη τέλος πρὸς ἡσυχίαν καὶ αὐτῶν τῶν ἀδελφῶν μας βουλγάρων, καὶ τὴν ἀξιοπρέπειαν, καὶ τὰ δικαιώματα νὰ διασώσῃ, οἰκονομοῦσα συμφώνως ταῖς πατροπαραδότοις κανονικαῖς διατάξεσι. Καὶ ταῦτα μὲν ταπεινῶς περὶ τῆς ἐμῆς γνώμης· εἶεν δὲ τὰ πανάγια καὶ σεβάσμια αὐτῆς ἔτη θεόθεν πλεῖστα, ὑγιεινὰ καὶ σωτηριωδέστατα. ,αωξζ', ἰουνίου θ'.

Τῆς Ὑμετέρας πανσεβάστου ἡμῖν Παναγιότητος

ἀγαπητὸς ἐν Χριστῷ ἀδελφὸς καὶ ὅλως πρόθυμος

† Ὁ πρώην Κωσταντινουπόλεως Ἄνθιμος

ὁ Βυζάντιος.

Γράμμα τοῦ πατριάρχου Ἀνθίμου ΣΤ'

Παναγιώτατε, θειότατε καὶ σεβασμιώτατε οἰκουμενικὲ πατριάρχα κύριε κύριε Γρηγόριε, ἐν Χριστῷ τῷ Θεῷ λίαν ἀγαπητὲ καὶ ἀξιοσέβαστε ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἐμῆς μετριότητος. Τὴν ὑμετέραν ἀξιοσέβαστόν μοι ἀδελφικὴν κορυφὴν μετὰ τοῦ ἀνήκοντος σεβασμοῦ ἀδελφικῶς ἐν ἁγίῳ Πνεύματι κατασπάζομαι. Τὸ ἄνευ ἡμερομηνίας ἀξιοσέβαστόν μοι πατριαρχικὸν αὐτῆς πιτάκιον μετὰ τοῦ σχεδίου περὶ τῆς ὑποθέσεως τοῦ βουλγαρικοῦ ζητήματος μετὰ πάσης τῆς δεούσης εὐλαβείας ἐδεξάμην παρὰ τῶν ἀποσταλέντων ἁγίων ἀδελφῶν ἡμῶν. Ἀφ' οὗ ἀρυσάμενος πρωτίστως τὰς θεοπειθεῖς αὐτῆς εὐχάς, εἶδον ἑπομένως τὰ ἰδίως παρὰ τῆς ὑμετέρας θειοτάτης Παναγιότητος ἕνεκα τῆς μετεώρου εἰσέτι μενούσης αὐτῆς ταύτης τῆς ὑποθέσεως σκεφθέντα· ἅπερ καθυποβάλλουσα καὶ τῇ ἐμῇ ἀδυναμίᾳ, διακελεύεται ὅπως μελετήσας αὐτὸ ἀκριβῶς διακοινώσω τῇ ὑμετέρᾳ βαθυνοίᾳ καὶ τὴν ἐμὴν ταπεινὴν γνώμην. Ἀδελφὲ ἀξιοσέβαστε! Ἂν καὶ τὸ διάταγμα ὑπερτερεῖ τῆς δυνάμεώς μου, πρὸς διατήρησιν ὅμως τῆς ὑπακοῆς ἐμελέτησα αὐτὸ ἐσκεμμένως, ὡς διεκελεύσθην· ἀλλὰ κατὰ τὴν ἐμὴν ἀσθενῆ

Digitized by Google

γεροντικὴν γνώμην, θεωρῶ αὐτὸ πολλὰ προσβλητικὸν εἰς τὴν ἀξιοπρέπειαν τῆς Ἐκκλησίας, οὐ μὴν δ' ἀλλὰ καὶ τέλος μελιστικὸν ἐκ τοῦ ὅλου ὀρθοδόξου σώματος· δὲν ἀντιτείνω εἰς τὴν ἀπόφασιν αὐτῆς, ἀλλὰ γνώμην δίδωμι ἐπειδὴ ἐπιτάττομαι, ὅτι τὸ σχέδιον αὐτό, ὡς ὂν μυστικόν, νὰ παρασιωπηθῇ, καὶ νὰ ληφθῇ φροντὶς παρὰ τῆς Ἐκκλησίας ἵνα διορισθῇ ἐκ νέου μία μικτὴ ἐπιτροπή, ἐξ ἀμφοτέρων τῶν διαφερομένων μερῶν, ἵνα σκεφθῇ βαθύτερον περὶ τούτου, ὥστε ὁποιαδήποτε καὶ ἂν γίνῃ ἐκ ταύτης τῆς ἐπιτροπῆς ἀπόφασις, ἡ Ἐκκλησία νὰ ἦναι ἀπηλλαγμένη τῆς κατηγορίας, διότι ἡ μονομερῶς γεγονυῖα ἤδη αὕτη ἀπόφασις, θὲ νὰ φέρῃ νομίζω κατηγορίαν καὶ μῶμον εἰς τὴν Ἐκκλησίαν, ὡς πρώτη αὐτὴ ὑπὸ μισαδελφίας κινουμένη ἔρριψε τὸν κῦβον τοῦ μελισμοῦ. Ἐξ ἄλλου δὲ δὲν πρέπει, ὡς ἐμοὶ δοκεῖ, τὸ πρὸ τοσούτων αἰώνων τὴν ὀρθοδοξίαν δεχθὲν ἔθνος, παρὰ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Φωτίου πατριάρχου Κωνσταντινουπόλεως τοῦ ἰσαποστόλου, καὶ ἐξ ἐκείνης τῆς ἐποχῆς ἄχρι τῆς σήμερον ἓν σῶμα μεθ' ἡμῶν, ἄνευ τινὸς διακρίσεως ἐν ἁπάσαις ταῖς ἱεροτελεστίαις, ἐπιγαμβρεύσεις τε καὶ λοιπὰ θρησκευτικά τε καὶ ἐθνικά, ὀρθόδοξον λογιζόμενον, δὲν πρέπει, λέγω, μίαν τοιαύτην, παλαιτάτην καὶ ὀρθὴν ἁγίαν οἰκοδομήν, πρώτη ἡ Ἐκκλησία, ἥτις ἀνήγειρεν αὐτὴν ἀπ' ἀρχῆς, ὡς εἴρηται, αὐτὴ ἡ ἰδία ἄνευ πολυειδοῦς, πολυτρόπου τε, καὶ ἀνεκτικῆς προγεγονυίας ἀποπείρας, ἤδη νὰ καταστρέψῃ αὐτήν. Ἡ Ἐκκλησία, ὡς κοινὴ μήτηρ, καὶ ἀνεξίκακος νύμφη τοῦ Χριστοῦ, ὀφείλει, ἵνα μεταχειρισθῇ κάθε λογῆς ἤπιον τρόπον ἵνα περιμαζεύσῃ τὰ τέκνα αὐτῆς ὑπὸ τὰς πτέρυγας αὐτῆς, ὡς ἡ ὄρνις τὰ νοσία ἑαυτῆς. Ποῦ θέσωμεν δέ, ἀδελφοί, τὴν ἐρώτησιν τοῦ Ἀποστόλου Πέτρου πρὸς τὸν Κύριόν μας. «Ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; Ἕως ἑπτάκις;» καὶ τὴν ἀπάντησιν τοῦ Κυρίου μας· «Οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά!» Ἀόριστος ἀμνηστεία καὶ ἄφεσις! Καὶ ὁ ἀπόστολος Ἰάκωβος διδάσκει ἡμᾶς, λέγων· «Ἐάν τις ἐν ἡμῖν πλανηθῇ ἀπὸ τῆς ἀληθείας, καὶ ἐπιστρέψῃ τις αὐτόν, γινωσκέτω, ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν». Ὁ δὲ θεῖος Χρυσόστομος εἰς τὴν ια'

Digitized by Google

ὁμιλίαν ὅπου κάμνει εἰς τὴν πρὸς Ἐφεσίους ἐπιστολὴν τοῦ Ἀποστόλου Παύλου, λέγει· «Οὐδὲν οὕτω παροξύνει τὸν Θεόν, ὡς τὸ Ἐκκλησίαν διαιρεθῆναι· κἂν μυρία ὦμεν ἐργασάμενοι καλά, τῶν τὸ σῶμα αὐτοῦ διατεμόντων οὐκ ἐλάττονα δώσομεν δίκην, ὡς τὸ πλήρωμα κατατέμνοντες τὸ ἐκκλησιαστικόν»... καὶ πάλιν, «Ἀνήρ τις ἅγιος ἐφθέγξατο, ὅτι οὐδὲ μαρτυρίου αἷμα ταύτην δύναται ἐξαλείφειν τὴν ἁμαρτίαν»· καὶ πάλιν· «Διὰ τοῦτο καὶ ἡμεῖς ταῦτα φαμέν, ἵνα ὑμῖν μὴ ἐξῇ κατ' ἐκείνην τὴν ἡμέραν λέγειν, οὐδεὶς ἡμῖν εἶπεν, οὐδεὶς διεστείλατο, ἠγνοήσαμεν, οὐδὲν ἡγούμεθα τὸ ἁμάρτημα εἶναι· διὰ τοῦτο λέγω, καὶ διαμαρτύρομαι, ὅτι τοῦ εἰς αἵρεσιν ἐμπεσεῖν τὸ τὴν Ἐκκλησίαν σχίσαι οὐκ ἔλαττον ἐστὶ κακόν». Καὶ πάλιν· «Φρίττεις ταῦτα ἀκούων; ἂν εἴπω, ἐμὲ ῥάπισον, φρίττεις· καὶ τὸν Δεσπότην σου σπαράττεις, καὶ οὐ φρίττεις; Τὰ μέλη τὰ δεσποτικὰ διαξαίνεις, καὶ οὐ τρέμεις; Οἶκος ἐστὶν ἡ Ἐκκλησία πατρικός, ἓν σῶμα καὶ ἓν πνεῦμα». Καὶ πάλιν, ἐπὶ τέλους λέγει· «Εἰ μὲν οὖν περὶ ἡμῶν ταῦτα ὑποπτεύετε, ἕτοιμοι παραχωρῆσαι τῆς ἀρχῆς ὅτῳ περ ἂν βούλοισθε, μόνον Ἐκκλησία ἔστω μία». Ἐγὼ μέν, ἀξιοσέβαστε ἀδελφέ! ὁμολογῶν τὴν ἀδυναμίαν μου, ἵνα μὴ ὑποπέσω δὲ εἰς τὸ τῆς παρακοῆς ἁμάρτημα, ἑκὼν ἀέκων, ταῖς εὐπροσδέκταις αὐτῆς εὐχαῖς θαρρήσας, ὑπέμνησα αὐτῇ τ' ἀνωτέρω, ἅπερ ἡ ἀσθενὴς γεροντική μου διάνοια ἐνεθυμήθη. Ἡ δὲ ὑμετέρα ἀξιοσέβαστός μοι περίνοια, ὡς παρὰ Θεοῦ τεταγμένη ὅπως διευθύνῃ τά τε ἐκκλησιαστικὰ καὶ ἐθνικὰ πράγματα, ποιησάτω ὅπως παρ' αὐτοῦ φωτισθῇ. Ἐξαιτούμενος δὲ τὰς θεοπειθεῖς αὐτῆς εὐχὰς εἰς βοήθειάν μου, μένω μὲ τὸ ἀνῆκον ἀδελφικὸν σέβας

τῇ 15ῃ ἰουνίου, 1867. Κανδηλῇ

τῆς Ὑμετέρας θειοτάτης καὶ ἀξιοσεβάστου μοι Παναγιότητος

ἀγαπητὸς ἐν Χριστῷ ἀδελφὸς καὶ ὅλως πρόθυμος

† Ὁ πρώην Κωνσταντινουπόλεως Ἄνθιμος.

Digitized by Google

Γράμμα τοῦ πατριάρχου Κυρίλλου Ζ'

Παναγιώτατε, θειότατε καὶ σεβασμιώτατε οἰκουμενικὲ πατριάρχα. Ἐν Χριστῷ τῷ Θεῷ λίαν ἡμῖν ἀγαπητὲ καὶ περιπόθητε ἀδελφὲ καὶ συλλειτουργὲ κύριε κύριε Γρηγόριε. Τῇ σεβασμίᾳ αὐτῆς κορυφῇ τὸν ἐκ μέσης ψυχῆς ἐν Χριστῷ ἀδελφικὸν ἀσπασμὸν ἀπονέμομεν. Τὸ διὰ τῶν ἐν Χριστῷ ἀδελφῶν, τοῦ τε Κρήτης κυρίου Διονυσίου, καὶ Βοδενῶν κυρίου Νικοδήμου ἐπιδοθὲν ἡμῖν σεβαστὸν αὐτῆς πατριαρχικὸν πιτάκιον ὑπὸ ἡμερομηνίαν ζ' τοῦ παρόντος μηνός, ἀσμένως κομισάμενοι, ἔγνωμεν ἐν συνόλῳ τὴν ἔμφρονα βουλὴν καὶ πρόνοιαν, ἣν καταβάλλει πρὸς λύσιν τοῦ πρὸ πολλοῦ, ὡς μὴ ὤφειλε, λεγομένου ζητήματος, καὶ μυρία ὅσα ἄλγη τῇ τε Ἐκκλησίᾳ τοῦ Χριστοῦ, καὶ τῇ ἱερᾷ ἀδελφότητι παρασχόντος, οὐ μόνον δέ, ἀλλὰ καὶ τὸ ἐπισυνημμένον σχέδιον τὸ περιγράφον τοὺς ὅρους, ἐφ' οἷς πρόκειται γενέσθαι τὴν κατ' ἐκκλησιαστικὴν οἰκονομίαν καὶ συγκατάβασιν λύσιν ταύτην, περιεσκεμμένως διελθόντες, καὶ τὰς προφορικὰς διασαφήσεις τῶν εἰρημένων ἀδελφῶν ἀκροασθέντες, ἔγνωμεν, ὅτι ἅπαν τὸ ἐν τῷ σχεδίῳ τούτῳ περιεχόμενον, οὐ μόνον ἀρκούντως ἱκανοποιεῖ τὰς ἀπαιτήσεις τῶν ἀδελφῶν βουλγάρων, εἴ γε οὗτοι πρὸς χριστιανικὸν σκοπὸν ἀφορῶσιν· ἀλλὰ καὶ (ὅπερ πρώτιστον) τοῖς ἱεροῖς καὶ πατροπαραδότοις θεσμοῖς καὶ κανόσι καὶ τοῖς ἀπαραγράπτοις δικαιώμασι τοῦ Οἰκουμενικοῦ Θρόνου οὐκ ἀντιλέγει.

Ἐπειδὴ τοίνυν ἡ σεβασμία αὐτῆς Παναγιότης εὐηρεστήθη ἐκζητῆσαι καὶ τὴν ἡμετέραν ἐπὶ τούτοις ταπεινὴν γνώμην, ἀπαντῶντες, πρωτίστως μὲν διαπυνθανόμεθα μετὰ πόθου τὰ τῆς εὐκταίας ἡμῖν ἀγαθῆς αὐτῆς ὑγείας, ἑπομένως ἀποφαινόμεθα, ὅτι ἐσμὲν πληρέστατα σύμφωνοι, μηδὲν ἔχοντες οὔτε ἀφαιρεῖν, οὔτε προσθεῖναι· διὸ καὶ ἐξαιτούμεθα θερμῶς παρὰ τοῦ ἄρχοντος τῆς εἰρήνης Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅπως δι' ἀποτελεσματικῆς ἐπιτυχίας, καὶ ἑνώσεως τῶν διεστώτων, εὐδοκήσῃ ἐπιστέψαι τὰς προσπαθείας αὐτῆς πρὸς ἡσυ-

Digitized by Google

χίαν καὶ εὐημερίαν τῆς Ἐκκλησίας. Τὰ δὲ πανάγια αὐτῆς ἔτη εἴεν θεόθεν ὅτι πλεῖστα καὶ σωτηριωδέστατα. ͵αωξζ΄, ἰουνίου ι΄.

Τῆς θειοτάτης καὶ σεβασμιωτάτης αὐτῆς Παναγιότητος

ἀγαπητὸς ἐν Χριστῷ ἀδελφὸς καὶ ὅλως πρόθυμος

† **Ὁ πρῴην Κωνσταντινουπόλεως Κύριλλος.**

Γράμμα τοῦ πατριάρχου Σωφρονίου Γ΄

Παναγιώτατε, θειότατε καὶ σεβασμιώτατε οἰκουμενικὲ πατριάρχα, ἐν Χριστῷ τῷ Θεῷ λίαν ἀγαπητὲ καὶ περιπόθητε ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος, κύριε κύριε Γρηγόριε! τὴν προσφιλεστάτην ἡμῖν αὐτῆς σεβασμίαν Παναγιότητα ἀδελφικῶς ἐν Κυρίῳ κατασπαζόμενοι ὑπερήδιστα προσαγορεύομεν. Δεξάμενοι χθὲς περὶ λύχνων ἁφὰς τὸ ἀπὸ τῆς ζ΄ τοῦ ἱσταμένου σεβάσμιον ἡμῖν αὐτῆς ἀδελφικὸν πιττάκιον ἀνέγνωμεν αὐτὸ μετὰ προσοχῆς, καὶ μετ' ἐπιστασίας ἐμελετήσαμεν τὸ περὶ οὗ ποιεῖται μνείαν σχέδιον πρὸς λύσιν τοῦ βουλγαρικοῦ ζητήματος, ὅπερ ἐπαρουσιάσθη ἡμῖν ὑπὸ τῶν ἐν Χριστῷ ἀγαπητῶν ἀδελφῶν τοῦ τε ἁγίου Κρήτης καὶ τοῦ ἁγίου Βοδενῶν. Ἐπειδὴ δὲ προσκαλούμεθα ὑπὸ τῆς σεβασμίας ἡμῖν αὐτῆς Παναγιότητος, ἵνα διακοινώσωμεν αὐτῇ τὴν ἐπὶ τούτου σκέψιν καὶ γνώμην ἡμῶν, ἀποκρινόμεθα διὰ τοῦ παρόντος ἡμῶν ἀδελφικοῦ ὅτι, τὸ ἐν λόγῳ σχέδιον, καθόλου τε καὶ κατὰ μέρη θεωρούμενον, φαίνεται καὶ ἡμῖν εὐστόχως σκοποῦν ὅπως καὶ τὰς αἰτήσεις τῶν ἀδελφῶν βουλγάρων ἱκανοποιήσῃ καὶ τὰ κανονικὰ δικαιώματα τοῦ πατριαρχικοῦ Θρόνου ἀλώβητα τηρήσῃ, τῷ τῆς οἰκονομίας μέτρῳ ἐν τῇ δυσχερείᾳ ταύτῃ τῶν πραγμάτων χρώμενον, ὅσον οἷόν τε κανονικώτερον, καὶ ὅσον τε συμφωνότερον πρὸς ἄλλα ἔκτακτα οἰκονομικὰ μέτρα, ἅτινα κατὰ διαφόρους καιροὺς ὑπηγορεύθησαν τῇ Ἐκκλησίᾳ ὑπὸ τῆς ἀνάγκης καὶ δι' ἐπισήμων ἐκκλησιαστικῶν τόμων ἢ πράξεων καθιερώθησαν. Ἐν τούτοις ἐπειδή, ὡς

Digitized by Google

κάλλιστα γινώσκει ἡ σεβασμία ἡμῖν αὐτῆς Παναγιότης, δὶς ἐν τῷ διαστήματι μιᾶς πενταετίας προέβη ἡ Ἐκκλησία εἰς ἐπισήμους ἀποφάσεις ἐπὶ τοῦ πολυθρυλλήτου, ὡς μήποτ' ὤφελε, καταστάντος βουλγαρικοῦ τούτου ζητήματος, καὶ κατὰ δυστυχίαν οὔτε διὰ τῆς πρώτης, τῆς γενομένης ἐπὶ τοῦ παναγιωτάτου καὶ σεβασμιωτάτου ἡμῶν προκατόχου κὺρ Ἰωακεὶμ καὶ δι' αὐτοκρατορικοῦ φιρμανίου κυρωθείσης, οὔτε διὰ τῆς δευτέρας, τῆς πρὸ τριῶν περίπου ἐτῶν ἐν ἑπτὰ συνεδριάσεσιν ἀπαρτισθείσης καὶ τῇ Ὑψηλῇ Πύλῃ ἀκολούθως διὰ τὰ περαιτέρω ὑποβληθείσης, οὐδετέρωθεν, λέγομεν, ἐπῆλθε τὸ ποθούμενον καὶ ἐλπιζόμενον ἀποτέλεσμα, ἀλλ' ἐξ ἐναντίας τοσούτῳ μᾶλλον ἀπαιτητικώτεροι ἀπέβαινον οἱ λεγόμενοι τῶν βουλγάρων ἀντιπρόσωποι ὅσῳ ἔβλεπον τὴν Ἐκκλησίαν πλείονα προσοχὴν διδοῦσαν εἰς τὰς αἰτήσεις αὐτῶν, διὰ ταῦτα πάντα ἐσόμεθα, νομίζομεν, συγγνωστοί, ὅτι ἐπισυνάπτοντες ὑποβάλλομεν τῇ συνέσει αὐτῆς τὴν ἑξῆς ταπεινὴν ἡμῶν γνώμην· ἔστι δὲ αὕτη τὸ νὰ καταβληθῇ ἡ προσήκουσα φροντὶς ὅπως μὴ καὶ αὖθις ἐκτεθῇ ἐπὶ ματαίῳ ἡ ἀξιοπρέπεια τοῦ πατριαρχικοῦ Θρόνου τρίτην ταύτην φορὰν καὶ περιφρονηθῇ ὑπὸ τῶν ὁσημέραι ἐπιθετικώτερον χαρακτῆρα ἀναλαμβανόντων ἀντιπροσώπων τῶν βουλγάρων. Ἐντεῦθεν πρὸς ἀποφυγὴν τούτου καὶ πρὸς πλείονα ἀσφάλειαν τῆς Ἐκκλησίας, θεωροῦμεν ἀναγκαῖον καὶ συνεπὲς πρὸς τὴν φύσιν τῶν πραγμάτων ἓν ἐκ τῶν δύο : ἢ νὰ ζητήσῃ προηγουμένως ἡ Ἐκκλησία διὰ τῆς Ὑψηλῆς Πύλης ἀπάντησιν παρὰ τῶν βουλγάρων περὶ τῆς γενομένης δευτέρας ἀποφάσεως πρὸς λύσιν τοῦ ζητήματος, καὶ ἀφοῦ μάθῃ οὕτω, κατ' ἀναφορὰν πρὸς ἕκαστον ἄρθρον, τοὺς λόγους δι' οὓς δὲν ἐγένετο ὑπ' αὐτῶν παραδεκτὸν τὸ σχέδιον ἐκεῖνο, τότε νὰ σκεφθῇ περὶ ἑτέρου σχεδίου κατὰ συνέπειαν τῶν γενησομένων παρατηρήσεων, ἢ ἄλλως νὰ εὑρεθῇ ὁ τρόπος ὥστε νὰ προβῶσι πρῶτοι οἱ βούλγαροι προτείνοντες τοιοῦτο μέτρον, ὅ ἐστι τὴν ὑπὸ τῆς Ἐκκλησίας ἀναγνώρισιν ἰδίου βουλγαρικοῦ θέματος, καὶ ἡ Ἐκκλησία νὰ φανῇ τότε συγκαταβαίνουσα καὶ οἰκονομικῶς παραδεχομένη διὰ παραχωρήσεως ἰδιαιτέρων ἐκκλησιαστικῶν προνομίων, ὁποίων ποιεῖται μνείαν τὸ ἀποσταλὲν ἡμῖν νέον σχέδιον. Καὶ ταῦτα μὲν παρ' ἡμῖν ἀποκριτικῶς.

Digitized by Google

Εἴεν δὲ τὰ πανάγια αὐτῆς ἔτη θεόθεν ὅ,τι πλεῖστα, ὑγιεινὰ καὶ σωτηριωδέστατα. 'Εν Πριγκήπῳ, ͵αωξζ', Ἰουνίου θ'.

Τῆς προσφιλεστάτης ἡμῖν αὐτῆς σεβασμίας Παναγιότητος

ἀγαπητὸς ἐν Χριστῷ ἀδελφὸς καὶ ὅλως πρόθυμος

† **Ὁ πρώην Κωνσταντινουπόλεως Σωφρόνιος**

Γνώμη τοῦ πατριάρχου Ἀνθίμου Δ'

Παναγιώτατε, καὶ σεβασμιώτατε οἰκουμενικὲ πατριάρχα Κωνσταντινουπόλεως, κύριε κύριε Γρηγόριε, τὴν φίλην ἡμῖν αὐτῆς Παναγιότητα ἀδελφικῶς ἐν Κυρίῳ κατασπαζόμενοι ὑπερήδιστα προσαγορεύομεν. Μετὰ πόθου ἀδελφικοῦ ἐλάβομεν τὸ ἀπὸ τῆς β' ὡς καὶ τὸ ἀπὸ θ' τοῦ τρέχοντος μηνὸς σεβάσμια ἡμῖν ἀδελφικά, καὶ ἐχάρημεν ἐπὶ τῇ δι' αὐτῶν πληροφορίᾳ τῆς ἀγαθῆς ὑγιείας της. Εἴδομεν ἑπομένως καὶ ἐν αὐτοῖς σημειούμενα περὶ τῶν δύο σχεδίων καὶ τοῦ ὑψηλοῦ τεσκερὲ τῶν ἀφορώντων τὸ βουλγαρικὸν ζήτημα, καὶ ἐπειδὴ τότε δὲν ἠδυνήθημεν, ἕνεκα τῆς φιλασθένου καταστάσεως ἡμῶν, νὰ κατέλθωμεν εἰς τὴν γενομένην τὴν παρελθοῦσαν τετάρτην Συνέλευσιν, οὐδὲ νὰ ἀπαντήσωμεν ἐγγράφως πρὸς τὴν Ὑμετέραν Παναγιότητα, ἐξαιτούμεθα τὴν ἀδελφικὴν αὐτῆς συγγνώμην· ἤδη δὲ ἐν τῇ ἐλεύσει τοῦ ἱερωτάτου μητροπολίτου Βοδενῶν ἀγαπητοῦ ἡμῖν ἐν Χριστῷ ἀδελφοῦ κὺρ Νικοδήμου, ἐπισταμένως διεξελθόντες τάς τε κανονικὰς ἀναλύσεις καὶ ἀνασκοπὰς καὶ τὴν πρὸς τὸν ὑψηλὸν τεσκερὲν ἀπάντησιν, οὐκ ἔχομεν ἕτερον εἰπεῖν, εἰμή, ὅτι εὕρομεν τὰς ἀναλύσεις ταύτας κανονικωτάτας καὶ συμφώνους ἐν πᾶσιν εἰς τὸ πνεῦμα τοῦ ἱεροῦ Εὐαγγελίου καὶ τῆς ἀμωμήτου ἡμῶν πίστεως, πρὸς δὲ καὶ εἰς τὰ ἀνέκαθεν παρὰ τῆς σεβαστῆς κυβερνήσεως χορηγηθέντα τῇ Ἐκκλησίᾳ προνόμια. Ἐπειδὴ δὲ πεποίθαμεν καὶ ἡμεῖς, ὅτι ἐξαντλήσασα ἡ Ἐκκλησία πᾶν τὸ ἐπ' αὐτῇ πρὸς λύσιν τοῦ ζητήματος τούτου, οὐδὲν ἕτερον ὑπολείπεται αὐτῇ, εἰμὴ νὰ ἐπικαλεσθῇ τὴν συνδρομὴν τῆς καθόλου ὀρθοδόξου Ἐκκλη-

Digitized by Google

σίας, ἥτις μόνη λογίζεται καὶ ὑπάρχει ὁ ἁρμόδιος καὶ ἀσφαλὴς γνώμων τῶν ἐκκλησιαστικῶν ζητημάτων, παραδεχόμεθα καὶ ἐπιδοκιμάζομεν τὸ μέτρον, ὅπερ προτείνεται καὶ λογιζόμεθα τοῦτο συμφέρον τῇ τε Ἐκκλησίᾳ καὶ τοῖς ἀδελφοῖς βουλγάροις, πρὸς δὲ καὶ σύμφωνον τῇ φιλολάῳ προθέσει καὶ ἐπιθυμίᾳ τῆς σεβαστῆς ἡμῶν κυβερνήσεως τοῦ νὰ δοθῇ μία ὁριστικὴ καὶ ἀσφαλὴς λύσις εἰς τὸ ζήτημα τοῦτο. Καὶ ταῦτα μὲν ὁριστικῶς εἰς ἀπάντησιν αὐτῆς.

Εὐγνωμονοῦντες δὲ τῇ σεβασμίᾳ ἡμῖν αὐτῆς Παναγιότητι καὶ δι' ἃς ἐπιδαψιλεύει ἡμῖν εὐχὰς πρὸς ἀπαλλαγὴν ἡμῶν ἀπὸ τῆς κατεχούσης σωματικῆς ἀσθενείας διατελοῦμεν ,αωξη', τῇ ι' νοεμβρίου,

τῆς φίλης ἡμῖν σεβασμίας αὐτῆς Παναγιότητος

ἀγαπητὸς ἐν Χριστῷ ἀδελφὸς καὶ ὅλως πρόθυμος

† Ὁ πρῴην Κωνσταντινουπόλεως Ἄνθιμος ὁ Βυζάντιος.

Γνώμη τοῦ πατριάρχου Κυρίλλου Ζ'

Παναγιώτατε, θειότατε καὶ σεβασμιώτατε οἰκουμενικὲ πατριάρχα Κωνσταντινουπόλεως κύριε κύριε Γρηγόριε, τὴν ἐν Χριστῷ περισπούδαστον καὶ σεβασμίαν ἡμῖν αὐτῆς Παναγιότητα ἀδελφικοῖς χείλεσι κατασπαζόμενοι ἥδιστα προσαγορεύομεν. Ἀσμένως ἐκομισάμεθα διὰ τοῦ ἱερωτάτου μητροπολίτου Βοδενῶν καὶ ἐν Χριστῷ ἀγαπητοῦ ἡμῖν ἀδελφοῦ κὺρ Νικοδήμου τὴν ἀπὸ θ' τρέχοντος μηνὸς ἡμερολογουμένην σεβασμίαν αὐτῆς ἐπιστολὴν μετὰ καὶ τῶν δύο ἀντιγράφων, τῆς τε ἀνασκευῆς καὶ τῆς ἀπαντήσεως, τῶν ἀφορώντων τὸ βουλγαρικὸν ζήτημα, ἅπερ καὶ κατὰ τὴν ἀδελφικὴν αὐτῆς ἀξίωσιν ἐπισταμένως διεξελθόντες μετὰ πνευματικῆς εὐχαριστήσεως κατείδομεν τὸν ἐπὶ προασπισμῷ τῶν πατροπαραδότων διαλάμποντα ἐν τούτοις ζῆλον, δι' οὗ λόγοις κανονικοῖς καὶ τοῖς τῆς εὐσεβείας θεσμοῖς ἀνασκευάζοντες, καὶ

Digitized by Google

οὐ μόνον ἐναντία τῶν προνομίων τοῦ ἀποστολικοῦ καὶ Οἰκουμενικοῦ Θρόνου καὶ τῶν ἱερῶν κανόνων, ἀλλὰ καὶ αὐτοῦ τοῦ θεοπαραδότου τῆς ἑνότητος τῆς Ἐκκλησίας τοῦ Χριστοῦ δόγματος τὰ δύο ἐκεῖνα σχέδια ἐξελέγχοντες. Καὶ ἐκ τῆς ἁπλῆς ὅθεν ἀναγνώσεως τῶν σχεδίων, κατά γε τὸ ἐφ' ἡμῖν, προσχηματίσαντες τὴν πεποίθησιν ὅσον ταῦτα εἰσὶν ἀντικανονικά, ὅσον κατεξανίστανται τοῖς καθεστῶσι τῆς ὀρθοδόξου μιᾶς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας καὶ ταῖς ἀρχαῖς, ἐφ' ὧν ἑδράζεται τὸ κατὰ Χριστὸν τοῦ περιουσίου λαοῦ πολίτευμα· πρὸς ἐπὶ τούτοις δὲ καὶ ἐν μόνῃ τῇ ὑπονοίᾳ τῆς ὑπερισχύσεως αὐτῶν φρικιάσαντες καὶ ἀθυμίᾳ συσχεθέντες, ὅλῃ ψυχῇ καὶ καρδίᾳ ἤδη κατησπάσθημεν τὸ κατὰ πρόνοιαν τῆς τε θεοσόφου αὐτῆς Παναγιότητος καὶ τῆς περὶ αὐτὴν ἁγίας Συνόδου ἔργον, ὅπως ταῦτα διὰ τῶν θείων καὶ ἱερῶν κανόνων ἀνασκευασθῶσι, καὶ πεπαρρησιασμένως ἀναιρεθῶσι, πρὸς ἀπαλλαγὴν τῆς Ἐκκλησίας ἐκ τῆς ἀπὸ τούτων ἐπικειμένης προφανοῦς βλάβης.

Καθ' ὅσον δὲ ἀφορᾷ τὸ τελευταῖον τῆς Ἐκκλησίας μέτρον ὅπως συνῳδὰ τῇ διακαεῖ αὐτῆς εὐχῇ ἐπενεχθῇ λύσις τῆς διαφορᾶς ταύτης κανονικὴ καὶ ὁριστικὴ καὶ αὐτῷ τῷ ὀρθοδόξῳ βουλγαρικῷ λαῷ συμφέρουσα· ἐπειδὴ πανωμολόγητον ὑπάρχει, ὅτι ἐν τοῖς τοιούτοις ἐκκλησιαστικοῖς καὶ θρησκευτικοῖς ζητήμασιν ἡ καθόλου Ἐκκλησία ἐστὶ τὸ ὑπέρτατον καὶ ἀδέκαστον κριτήριον, πληρέστατα δικαιοῦμεν καὶ ἐπιδοκιμάζομεν καὶ ἡμεῖς τὸ μέτρον τοῦτο, καθορῶντες πλέον ἔγκαιρον καὶ ἀναγκαίαν τὴν διὰ μόνης τῆς καθόλου Ἐκκλησίας λύσιν τοῦ ἐν λόγῳ ζητήματος. Καὶ ταῦτα μὲν ἀδελφικῶς. Εἶεν δὲ τὰ σεβάσμια αὐτῆς ἔτη θεόθεν πλεῖστα καὶ κατ' ἄμφω σωτήρια.

,αωξη', τὴν ια' νοεμβρίου

τῆς ὑμετέρας σεβασμιωτάτης Παναγιότητος

ἀγαπητὸς ἐν Χριστῷ ἀδελφὸς καὶ ὅλως πρόθυμος

Ὁ πρώην Κωνσταντινουπόλεως Κύριλλος.

Digitized by Google

Γνώμη τοῦ πατριάρχου Σωφρονίου Γ'

ι'.) Ὑπέρμηνον δὲ διαλιπόντες, ἐπανῆκον οἱ αὐτοὶ ἕτερον κομίζοντες νομοσχέδιον, βραχύ τι παραλλάττον τοῦ προτέρου, ὥστε ἧττονος ἀτελείας δόκησιν ἔχειν (σελ. 118 καὶ ἐφε-

Digitized by Google

ξῆς) καὶ ἐάσαντες παρ' ἡμῖν ἐκοῦσιν ἀέκουσιν, ὡς ἰδιωτικὸν καὶ τοῦτο, καὶ ὡς ἰδιῶται (ἔφασαν), εἰ καὶ ὑπουργικῷ τῷ κελεύσματι, ἠξίουν καὶ καθικέτευον ἀναγνόντας ἐν ἐπιστασίᾳ, ἅττ' ἂν εὕρωμεν τοῖς ἱεροῖς κανόσι προσκρούοντα, ταῦτα σαφῶς δηλῶσαι τῇ αὐτοῦ Ὑψηλότητι. Οὐκοῦν προὔργου δόξαν διά τε τὴν ὑπουργικὴν ἀξίωσιν καὶ δι' ἣν προεδεδώκειμεν ὑπόσχεσιν, ὅτι εἴη δυνατὸν τῆς ἁγιωτάτης παραιτηθῆναι Οἰκουμενικῆς Συνόδου, εἴπερ εἰς τὸ καθ' ἡμᾶς ἀναδράμοιεν σχέδιον, ἔστιν ὅπη μεταπεποιημένον, εἰσαγαγεῖν τὸ κομισθὲν σχέδιον ὑπὸ τὴν συνοδικὴν συνδιάσκεψιν, ἵνα γνοίημεν ὅσον τε τοῦ ἡμετέρου ἀφειστήκει καὶ εἴ τι χωλαῖνον ἦν περὶ τὰ κανονικά, ἐκ δυοῖν συνεδριάσεων συνεπορισάμεθα περὶ μόνα τὰ σπουδαιότερα τὰς* ἐν τέλει ἐπισυνημμένας εὐαριθμοτάτας διορθώσεις καὶ παρατηρήσεις.

ια'.) Μεθ' ὃ ἡ μετριότης ἡμῶν μετὰ καὶ δύω συνοδικῶν μελῶν παρὰ τὴν αὐτοῦ Ὑψηλότητα μεταβάντες (τῇ α' ἰουνίου ͵αωξθ'), κατ' ἐπίμονον ἐκλιπάρησιν τῶν δύο προμνησθέντων ὁμογενῶν, τὰ συνοδικῶς δεδογμένα ἐπὶ τοῦ σχεδίου (παρόντων καὶ αὐτῶν τῶν τὸ σχέδιον κομισάντων λαϊκῶν) σαφῶς ἐξηγησάμεθα. Ἡ δὲ αὐτοῦ Ὑψηλότης συντόνως ἐπακροασαμένη τῶν ἡμετέρων ἐνστάσεων καὶ διασαφήσεων, τοῦ μέντοι γράμματος τοῦ σχεδίου τῆς ἐπιτροπῆς ἰσχυρῶς ἀντεχομένη, ὡς δῆθεν ἀβλαβοῦς τοῖς τῆς ὀρθοδόξου πίστεως ἄρθροις, οὐκ ὤκνησεν ἡμῖν ἐξειπεῖν εὐγενῶς μέν, σαφῶς δὲ καὶ στρογγύλως, ὡς ἄρα ἡ αὐτοκρατορικὴ κυβέρνησις, ὁρῶσα ἑαυτὴν ἐν τῇ ἀνάγκῃ τοῦ ἀπολῦσαι τοὺς βουλγάρους ἀσκεῖν τὰ τῆς θρησκείας αὐτῶν, καθὼς ἴσασι καὶ βούλονται, οὐκ ἄλλοις τὴν εὐθύνην τῶν συνεπειῶν καταλογιεῖται, ἢ τῷ ρωμαϊκῷ Πατριαρχείῳ,

(*) βλέπε σελ. 121—125 τοῦ μετὰ χεῖρας συγγράμματος.

Digitized by Google

οὔτ' ἀκροάσεως αὐτὸ ἀξιώσει, ἑξῆς ποτὲ τυχὸν δεινολογησομένῳ καὶ προσκλαυσομένῳ περὶ ταραχῶν καὶ ἀκαταστασίας ἐν βουλγάροις. Πρὸς ταῦτα δὲ τοῦ ὑπουργοῦ θαῤῥούντως ἀντειποῦσιν ἡμῖν ὑπόλογον χρῆναι νομίζειν οὐ τὸν ἑδράζοντα τὰς ἀξιώσεις αὐτοῦ ἐπὶ τῶν κειμένων νόμων τῆς ἐν Χριστῷ καὶ τῆς κατὰ κόσμον πολιτείας, ἀλλὰ τὸν παραβάτην τούτων καὶ ἀθετητὴν καὶ τὸν ἀναρχίαν διδάσκοντα, ἡ αὐτοῦ περίφρων Ὑψηλότης ὑπεκρούσατο, κατὰ τὰς εἰσηγήσεις καὶ πληροφορίας τῶν βουλγαριστῶν (οὐ γὰρ ἂν ἀδικοῖμεν τὴν κυβέρνησιν), ὡς ἄρα τὸ ρωμαϊκὸν Πατριαρχεῖον, περιστὰν ἀπέναντι τετελεσμένου γεγονότος τῆς ἀπ' αὐτοῦ ἀποστασίας τῶν βουλγάρων, σκέψασθαι ὀφείλει τοὐντεῦθεν οὐ τί πράξει, ἀλλὰ πῶς τὰ πεπραγμένα διευθετήσει ἐκκλησιαστικώτερον, ἐν τέλει δὲ ἠξίου ἐγγράφους πέμπειν τῇ αὐτοῦ Ὑψηλότητι τάς τε ἐνστάσεις καὶ παρατηρήσεις ἡμῶν ἐπὶ τοῦ σχεδίου καὶ τοὺς κανόνας αὐτούς, ὅσοις περ ἀντιπίπτειν ἐδόκει ἡμῖν· ὃ δὴ καὶ γέγονε μετ' οὐ πολλὰς ἡμέρας. Τοιαῦτα τοίνυν λέξαντές τε καὶ ἀκούσαντες θυμαλγῆ μὲν τὰ πλείω, οὐ μὴν πάντως καὶ ἀπογνωστικά, τῷ δὲ Σωτῆρι Θεῷ τὰ τῆς Ἐκκλησίας αὐτοῦ πιστεύσαντες, ἀνεμένομεν μέσον δέους καὶ ἐλπίδος τῶν παρ' ἡμῶν ἐνστάσεων τὸ ἀποτέλεσμα.

ιϐ΄.) Ἡμῶν δὲ ἡσύχως ἀναμενόντων, οὐχ ὁμοίως ἡσύχαζεν ἡ ἐν Μεσαχώρῳ βουλγαριστικὴ σπεῖρα, πολλοῦ γε καὶ δεῖ· ἀλλὰ πάσῃ μηχανῇ πόλεμον ἤγειρον δεινὸν ἀνὰ πᾶσαν τὴν Θράκην καὶ τὴν Μακεδονίαν κατά τε τῶν κανονικῶν ποιμένων καὶ ἱερέων καὶ τῶν χριστιανῶν ἐκείνων, ὅσοι, καὶ βούλγαροι ἢ βουλγαρόφωνοι, οὐκ ἤθελον ὅμως ἀποσχισθῆναι τῆς Μεγάλης Ἐκκλησίας καὶ ὑποκύψαι τῷ βουλγαρικῷ ἐξάρχῳ· ὃ δὲ σχέτλιον, καὶ γὰρ τὴν αὐτοκρατορικὴν κυβέρνησιν ἔπειθον δικαιοῦν τὴν ἀπὸ τοῦ πατριάρχου ἀποσκίρτησιν πάντων τῶν ἀεὶ προ-

Digitized by Google

θυμησομένων καταταγῆναι ὑπὸ τὴν αἰγίδα τοῦ βουλγαρισμοῦ· οὗ δὴ καὶ ἐπέτυχον, ἀντὶ τοῦ θεσπεσίου ὅρου τῆς ἐν ἁγίῳ Πνεύματι θεοφρόνως φθεγξομένης Οἰκουμενικῆς Συνόδου, ἀποχρῆν ἡγούμενοι οἱονδήποτε καισαρικὸν φιρμάνιον, ᾧ καὶ τὴν ὕλην καὶ τὸ εἶδος οὐχ ἕτερος, ἀλλ' αὐτοὶ πάντως οἱ τοῦ βουλγαρισμοῦ ταξίαρχοι ἐξυπούργησαν.

ιγ΄.) Τῇ γὰρ ἐσχάτῃ τοῦ φεβρουαρίου μηνὸς τοῦ ἐνεστῶτος ἔτους, πάλιν οἱ αὐτοὶ δύω λαϊκοί, οἱ προκομίσαντες ἐκεῖνο τὸ σχέδιον, κατελθόντες εἰς τὰ Πατριαρχεῖα, ὑψηλὸν ἐν μεμβράνῃ ἐκόμιζον θέσπισμα (φιρμάνιον), ἐν μὲν ἄρθροις ἕνδεκα τὰ τῆς βουλγαρικῆς Ἐξαρχίας διοργανοῦν καὶ διαρρυθμίζον, διαρρήδην δὲ σημαῖνον κεκυρῶσθαι τ' ἄρθρα ταῦτα καὶ αὐτογράφῳ αὐτοκρατορικῷ προστάγματι (σελ. 243). Τὸ θέσπισμα τοῦτο, ἅτε τῆς ἡμῶν μετριότητος νόσῳ τρυχομένης, τοῖς περὶ ἡμᾶς συνοδικοῖς παρακαταθέντες οἱ κομισταί, ἕως ἡμεῖς ἀναρρωσαιμεν, ἀνεχώρουν. Μόλις δέ, ἡμερῶν εἴκοσι διελθουσῶν, γνόντες μὲν ἡμεῖς τὰ περὶ τοῦ ἐγγράφου τούτου, καὶ ὅτι αὐθημερὸν καὶ τοῖς βουλγάροις ἐξεδέδοτο, τὴν οὐσίαν αὐτοῦ ἐνεωρακότες ἄλλην ἐνοῦσαν, ἢ ἣν ἡμεῖς, πολλῇ χρησάμενοι τῇ συγκαταβάσει, ὑπεδείκνυμεν ἐν τῷ καθ' ἡμᾶς σχεδίῳ, καὶ τὸν ἀγῶνα ἡμῖν ἐνεστηκότα οὐ περὶ σμικρῶν τινων καὶ οὐδενοσώρων, ἀλλὰ περὶ ἀθετήσεως ἱερῶν κανόνων καὶ περὶ καταπατήσεως καὶ παραγραφῆς τῶν τοῦ ἁγιωτάτου πατριαρχικοῦ τούτου Θρόνου ἀρχαίων προνομιῶν, καίπερ τοῦ σώματος μαλακώτερον διακείμενοι, ὅτι τάχος τὴν περὶ ἡμᾶς συνήγομεν Σύνοδον ἐπὶ τῷ βουλεύσασθαι ὅ,τι καὶ ἀποκρινούμεθα τῷ ὑψηλοτάτῳ πρωθυπουργῷ.

ιδ΄.) Τῇ οὖν ἱερᾷ Συνόδῳ ἐκτάκτως ἐπὶ τούτῳ συναθροισθείσῃ (τῇ κα΄ μαρτίου ,αωο΄) μετὰ ὥριμον σύσκεψιν ἅπασιν ἐδόκει ἀποκρίνασθαι τῷ μεγάλῳ βεζύρῃ* μεθ' ὅσης ἐκκλησιαστι-

* ἀνάγνωθι τὴν ἀπάντησιν ἐν σελίδι 147 – 149.

Digitized by Google

κῆς παρρησίας, τοσαύτης καὶ κοσμιότητος, ἥτις ἐμπρέπει τοῖς ὑπηκόοις, τὰ ἐν τῷ (σελ. 247) ἐπισυνημμένῳ ἐγγράφῳ.

ιε΄.) Ἐπεὶ δὲ ἥ τε κοινοποίησις τοῦ φιρμανίου καὶ τὸ πλέον αἱ παρὰ τῶν βουλγαριστῶν ἐγκύκλιοι (σελ. 250)· καὶ μὲν δὴ καὶ αἱ παρὰ τῆς Ἐκκλησίας ὑπεναντίαι τούτοις ἀποκρίσεις καὶ αἱ ἐντεῦθεν ποικίλαι καὶ ἀντιφατικαὶ φῆμαι οὕτω κατετάραττον τὰς ἐπαρχίας καὶ συνέκρουον τοὺς ἐν αὐταῖς παμμιγεῖς κατοίκους, ὥστε πανταχόθεν ἀφικνεῖσθαι παντοίας διαμαρτυρήσεις καὶ ἐπερωτήσεις πρὸς τὴν Ἐκκλησίαν, τοῦτον τὸν θροῦν καὶ τὴν σύγχυσιν διαλευκαίνοντες ἡμεῖς, τὰ δὲ φιλόχριστα ποίμνια στηρίζοντές τε καὶ ἀδελφοποιοῦντες ἐν ἀληθείᾳ, ἐκκλησιαστικὴν ἐκδεδώκαμεν ἐγκύκλιον (τῇ β΄ ἀπριλίου ͵αωο΄), ἐν ᾗ ἀνακεφαλαιοῦντες τὰ γεγονότα ἐν συνόψει καὶ δικαιοῦντες, ὅσον ἐνῆν, τὴν προνοητικὴν καὶ διαλλακτικὴν τῶν κυβερνώντων διάθεσιν, οὐκ ἀποκρύπτοντες δὲ οὐδὲ τὸ ὑγιαῖνον καὶ γνήσιον φρόνημα τῆς Ἐκκλησίας, προὐλέγομεν σαφῶς λυθήσεσθαι τὸ ζήτημα ὑπὸ τῆς Ἐκκλησίας αὐτῆς, ἢ τῆς ἐνταῦθα μόνης ἢ τῆς καθόλου, ἥκιστα δὲ διὰ πολιτικοῦ φιρμανίου (σελ. 253). Ἡ δὲ αὐτοῦ Ὑψηλότης τὰ παρ' ἡμῶν περὶ τοῦ φιρμανίου κομισάμενος, πενθήμερον ἐπισχών, πέμπει ἡμῖν (τῇ κη΄ μαρτίου ͵αωο΄) τὴν ἐπισυνημμένην ἀπάντησιν (σελ.256).

ιστ΄.) Ἡμῖν δὲ τοιοῦτο κομισαμένοις ἀποκριτήριον γράμμα παρὰ τοῦ μεγάλου βεζύρου, καὶ τὸ σιγῆσαι δεινὸν ἐδόκει καὶ πολλῆς ζημίας παραίτιον ἐν ἀνθρώποις, ἐξ ἐπιπολῆς καὶ πόρρωθεν τὰ καθ' ἡμᾶς πληροφορημένοις, καὶ τὸ ἀποκρίνασθαι οὔτε πάνυ ῥᾴδιον, οὔθ' ἡδύ· ὁμοίως γὰρ χαλεπὸν τὴν ἀκρίβειαν πᾶσαν ἐξειπεῖν τῶν θείων δογμάτων καὶ τῶν ἱερῶν κανόνων ἑτεροθρήσκῳ ὑπουργῷ, καὶ ἐξειπόντα νοηθῆναι, ὅτε καὶ αὐτοὶ οἱ καυχώμενοι ποιμένες τοῦ βουλγαρισμοῦ, καὶ τῇ ὀρθοδοξίᾳ ἐγγεγηρακότες, ἀκμὴν βραδεῖς ἐξελέγχονται τῇ καρδίᾳ τοῦ συνιέναι τὰ τῶν

Digitized by Google

πατέρων αἰώνια καὶ θεοχάρακτα ὅρια. Ἐπεὶ δ' ὅμως πάντως ἔδει ἀποκρίνασθαι, ἀπηντήθη τῇ Α. Ὑψηλότητι (τῇ ζ' ἀπριλίου ‚αωο' δι' ἐγγράφου)* οὐδὲν ἔξω τοῦ νομίμου καὶ εὐπρεποῦς, ὡς οἰόμεθα.

ιζ'.) Τοιαῦτα ἡμῶν ἀποκριναμένων, ἡ μὲν ὑψηλὴ κυβέρνησις παντελῶς σεσίγηκεν· ἡ δὲ ἐν Μεσαχώρῳ βουλγαριστικὴ φατρία, πάσῃ μηχανῇ τὸ ὑψηλὸν φιρμάνιον ἐφαρμόσασθαι πειρώμενοι καὶ βέβαιοι ἤδη περὶ τῶν τροπαίων, οὐδένα χρόνον ἢ τρόπον παραλελοίπασιν· ἀλλὰ πλὴν τῶν ἐπαρχιακῶν θορύβων καὶ συγκρούσεων, ἐπιτροπὴν μὲν ἐθνικὴν καὶ συντακτικὴν ἐν αὐτῇ τῇ τοῦ Κωνσταντίνου πόλει προσκαλεσάμενοι συνέστησαν ἀπό τε λαϊκῶν καὶ κληρικῶν, ἥτις ἴδιον αὐτῆς συντάξει κανονισμὸν τῶν κατ' αὐτοὺς ἐθνικῶν καὶ ἐκκλησιαστικῶν πραγμάτων, (ἤδη δὲ καὶ συντέτακται) παρὰ δὲ τὴν μίαν νόμιμον καὶ κανονικὴν, ἄλλην ἀντισύνοδον ἔκ τε καθῃρημένων καὶ ἐξ ἀποστατῶν ἐπισκόπων συγκροτήσαντες, γράμματα ἐξεδίδοσαν ἐκκλησιαστικὰ, δι' ὧν τὰς ἐπαρχίας ἐτάραττον, καὶ τοὺς ἀληθεῖς ποιμένας ἐδίωκον καὶ ἐκάκουν· ὃ δὲ χεῖρον, δύο ἀρχιερεῖς, τὸν Σοφίας καὶ τὸν Νυσσάβας, εἰς ἐπαρχίας οὐκ ἀνηκούσας αὐτοῖς καὶ ἄλλους κληρικοὺς πανταχόσε ἐξέπεμπον ἐπὶ τῷ διδάξαι (ἔλεγον) τοὺς λαοὺς τὴν ἀλήθειαν, καὶ ὅσας δύναιντο πλείους ὑπογραφὰς ὑπὲρ τῆς βουλγαρικῆς Ἐκκλησίας παρὰ χριστιανῶν ἁπλοϊκῶν δόλῳ συναγαγεῖν· τὸ δὲ παραδοξότερον οὐκ ὤκνησαν καὶ ὡς ἡμᾶς ἐξαποστεῖλαι τέτταρα τῶν τῆς ἐπιτροπῆς ταύτης μελῶν, ἐξαιτησόμενα τὴν πατριαρχικὴν ἡμῶν ἐπικύρωσιν καὶ εὐλογίαν ἐπὶ τοῦ τετελεσμένου ἤδη καὶ φιρμανίῳ βασιλικῷ κεκυρωμένου ἱεροῦ αὐτῶν ἔργου.

ιη'.) Τοιγαροῦν, ἐπειδήπερ ἡμεῖς τε καὶ ἡ περὶ ἡμᾶς ἁγία Σύ-

---

* βλέπε ἀπὸ σελίδος 260—268 τοῦ παρόντος βιβλίου.

Digitized by Google

νοδος μέσην συνετιτρωσκόμεθα τὴν καρδίαν, τά τ' ἐνθάδε δρώμενα καθορῶντες καὶ τὸν ἀεὶ ραγδαιότερον καὶ συστηματικώτερον ἐν ταῖς ἐπαρχίαις ἐπιτεινόμενον πόλεμον πληροφορούμενοι ἀπὸ γραμμάτων συχνῶν τῶν τε ἱερωτάτων μητροπολιτῶν, τῶν εὐλαβεστάτων ἱερέων καὶ λοιπῶν εὐσεβοφρόνων καὶ συνετῶν λαϊκῶν, δεινῶς ἀπολοφυρομένων ὁπόσα καὶ ὑφίστανται δεινὰ ὑπὸ τῶν ἀνατροπέων τῶν ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ ἱερῶν καὶ πατροπαραδότων καθεστώτων, οὐκ ἀνασχετὸν ἡγησάμεθα ἐπὶ πλέον μένειν ἐπὶ τῆς πατριαρχικῆς καθέδρας, ἀδυνάτως ἔχοντες αὐτῇ ἐπαμῦναι ἀδικουμένῃ. Διὸ δὴ τῇ ἐννεακαιδεκάτῃ τοῦ αὐγούστου μηνὸς τοῦ ἐνεστῶτος ἔτους, Σύνοδον ἔκτακτον συγκαλεσαμένοις ἔκ τε τῶν μελῶν τῆς ἱερᾶς Συνόδου καὶ ἐξ ἄλλων παρεπιδημούντων ἱερωτάτων μητροπολιτῶν, καὶ κοινῇ συντόνως σκεψαμένοις ἐδόκει πᾶσιν ὁμοφώνῳ γνώμῃ ἐγγράφως ἀνενεχθῆναι τῇ ὑψηλῇ αὐτοκρατορικῇ κυβερνήσει, καὶ διαρρήδην δεηθῆναι ἤτοι κατανεῦσαι εἰς τὴν τῆς Οἰκουμ. Συνόδου συγκρότησιν, ἢ πάντως δέξασθαι τὴν ἀπὸ τῆς πατριαρχείας παραίτησιν τῆς ἡμῶν μετριότητος· καὶ γὰρ ὅλως ἐναντίον ἡγούμεθα τὴν περαιτέρω διαμονὴν ἡμῶν ἐπὶ τοῦ ἁγιωτάτου θρόνου τῇ τε συνειδήσει καὶ τῷ πατριαρχικῷ ἡμῶν καθήκοντι. Ἔνθεν τοι τῇ κ' αὐγούστου πεπόμφαμεν τῷ ὑψ. πρωθυπουργῷ (τὸ ἐν σελ. 269) ἡμέτερον ἔγγραφον· μετὰ δέ τινας ἡμέρας καὶ οἱ συνοδικοὶ αὐτοὶ ἴδιον πεπόμφασι τῇ αὐτοῦ Ὑψηλότητι ἔγγραφον, δεόμενοι αὐτῆς εὐδοκῆσαι τὸ λοιπὸν διορθώσασθαι τὴν τηλικαύτην ἐκκλησιαστικὴν ἀνταρσίαν, καὶ οὕτως ἀνελεῖν πάσας τὰς δικαίας ἀφορμὰς τῆς τοῦ πατριάρχου παραιτήσεως (σελ. 270.) Τῆς δὲ αὐτοῦ Ὑψηλότητος μετὰ μικρὸν πρὸς ἀμφότερα τὰ ἔγγραφα εὐγενῶς μὲν πάνυ, ἀλλ' οὐ κατ' εὐχὴν ἀποκριναμένης (σ. 272), ἡμεῖς τὸ τοιοῦτον ἀποκριτήριον κομισάμενοι, καὶ κατὰ τὸ εἰκὸς σὺν τῇ περὶ ἡμᾶς Συνόδῳ σκεψάμενοι, δεῖν ἔγνωμεν γράψαι καὶ

Digitized by Google

πάλιν, παραπλήσια λέγοντες περὶ τῆς ἀνάγκης τῆς συγκροτήσεως Οἰκουμενικῆς Συνόδου καὶ τῆς ἀπὸ τοῦ θρόνου ἀναγκαίας καταστάσης ἀποχωρήσεως ἡμῶν πρὸς τὸ ἀπαλλαγῆναι βαρυτάτης εὐθύνης. Ἐπεὶ δὲ ἡ Α. Ὑψηλότης σαφῶς διεβεβαιοῦτο ἐν τῇ πρὸς ἡμᾶς ἀποκρίσει, ὅτι διορθώσεται καὶ ἐξαλείψει πᾶσαν αὐτῷ καταγγελθησομένην τῶν βουλγαριστῶν ἀταξίαν καὶ κατάχρησιν, τούτου χάριν, ἵνα μὴ δοκοῖμεν οὐ τὴν εἰρήνην καὶ τὴν διαλλαγήν, ἀλλὰ τὴν ἔριν διώκειν καὶ τὴν διχόνοιαν, συναπηριθμήσαμεν ἐν τῇ παρ' ἡμῶν ἀπαντήσει συνοπτικῶς ἔνια, τὰ κοιριώτατα, τῶν πολλῶν σκανδάλων, περὶ ὧν πολλάκις καὶ διὰ μακρῶν εἰς δεῦρο πρὸς αὐτὴν ἀνηνέχθημεν, ἐξαιτούμενοι τὴν τούτων διόρθωσιν (σελ. 273-275).

ιθ'.) Τοιαῦτα μέν, ὦ σεβάσμιε καὶ περιπόθητε ἡμῖν ἐν Χριστῷ ἀδελφέ, τοιαῦτα καὶ παραπλήσια τὰ ἐκ τῆς βουλγαρικῆς ἀνταρσίας καὶ ἀπονοίας ἐλεεινὰ καὶ θρήνων ἄξια δράματα· τοιαῦτα δέ, ὡς ἔπος εἰπεῖν, καὶ τὰ παρὰ τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας ἀκραιφνῶς λογικὰ (ὡς ἡμῖν δοκεῖ) καὶ κανονικὰ παλαίσματα τῆς ἀπαραιτήτου ἀμύνης πρὸς ἀνθρώπους, μόρφωσιν ἔχειν λέγοντας εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνῆσθαι ἐοικότας ἀπό γε τῶν ἔργων. Ἐπεὶ δὲ πάντα τοῖς πᾶσι κατάδηλα γέγονε, τά τε παρ' ἡμῶν καὶ τὰ παρὰ τῶν τῆς ἐκκλησιαστικῆς εὐνομίας ἀνατροπέων τούτων βουλγαριστῶν, διὰ ταῦτα, ὃν τρόπον πάσας τὰς ἐν τῇ πίστει ὁμοδόξους καὶ ἀδελφὰς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας καὶ σύμπαντας τοὺς σεβασμίους τῆς ὀρθοδοξίας ἱεράρχας καὶ ἀκρέμονας, οὕτω καὶ τὴν ὑμετέραν θεσπεσίαν κορυφὴν ἀξιοῦμεν καὶ παρακαλοῦμεν ἀδελφικῶς, θεόφρονι βουλῇ καὶ γνώμῃ ἐθελῆσαι ὅλην αὐτῆς συνεπιστῆσαι τὴν διάνοιαν τοῖς τε ἄλλοις τοῖς τῷ μετὰ χεῖρας τῷ δ' ἐπιστολιμαίῳ ὑπ μνήματι ἐπισυνημμένοις γράμμασιν, ὅσα φωρᾷ καὶ κατελέγχει τὸ ἀντικανονικὸν καὶ τῆς ὀρθοδοξίας ἀνατρεπτικὸν πνεῦμα

Digitized by Google

τοῦ βουλγαρισμοῦ, καὶ μάλιστ' αὐτῶν αὐτοῖς τοῖς ἐν τῷ φιρμανίῳ ἄρθροις, περὶ ὧν οὐδὲ ἡμεῖς ἀπεκρυψάμεθα, ὅπως γνώμης ἐσχήκαμεν· δηλῶσαί τε ἡμῖν καὶ πάλιν ἅττ' ἂν ὑμῖν δόξῃ, σὺν Θεῷ φωτίζοντι, περὶ τοῦ παντὸς πράγματος, εἰ ἄρα τ' ἀληθῆ καὶ δίκαια τυγχάνομεν διανοούμενοί τε καὶ λέγοντες, καὶ εἰ τῷ πνεύματι στοιχοῦμεν τοῦ Εὐαγγελίου καὶ τῶν πανσέπτων Οἰκουμενικῶν Συνόδων, τῶν σαλπίγγων καὶ πυξίων τούτων τοῦ παναγίου Πνεύματος.

Τὸν δὲ περὶ τούτων λόγον σφραγίζοντες, ἕως τύχωμεν τῆς ὑμετέρας, ἧς ἀπεκδεχόμεθ' ἀδελφικῆς ἀποκρίσεως, ἐκεῖνο ἐπιπροστιθέμεθα τὸ ἀκροτελεύτιον, ὅτι Ἡσαίας μὲν τῶν θείων προφητῶν ὁ μεγαλοφωνότατος περὶ τῶν τοιούτων ἰδιοτελῶν πρακτόρων καὶ δημεγερτῶν, οἳ διὰ χρηστολόγου εὐλογίας καὶ διὰ πάσης μεθοδείας ὑποσκελίζειν καὶ ἐξαπατᾷν εἰώθασι καρδίας ἀκάκους, μακαρίζειν τε τοὺς λαοὺς καὶ πλανᾷν αὐτοὺς καὶ τὰς τρίβους τῶν ποδῶν αὐτῶν ἐκταράσσειν, ὡς ἂν ρᾷον κατακυριεύσαντες αὐτῶν, ἀδεῶς τὸ λοιπὸν καλαμῶνται καὶ ἀφειδῶς τρυγῶσιν αὐτούς, ἐν πνεύματι προφητικῷ προλέγει, ὅτι «αὐτὸς ὁ Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ» (γ', 12—14). Ὁ δὲ Κύριος ἔφησεν· «Οὐαὶ τῷ ἀνθρώπῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται» (Ματθ. ιη', 6). Ἀλλ' ἡμεῖς, τῆς ἀνθρωπείας φύσεως τὸ εὐόλισθον καὶ εὐδιόρθωτον καὶ τῆς θείας εὐσπλαγχνίας τὸ πέλαγος εὖ μάλ' εἰδότες, εὐχόμεθα τῷ Πατρὶ τῶν φώτων καὶ μεγάλῳ τοῦ παντὸς εἰρηνάρχῃ, τῷ διὰ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ κηρύξαντι μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, εὐχόμεθα ἐν κατανύξει ψυχῆς μὴ στῆσαι τούτοις τοῖς πειραζομένοις καὶ ἀκμὴν πειράζουσι τὴν Ἐκκλησίαν ἀδελφοῖς βουλγάροις τὰς τηλικαύτας ἀνομίας, τὰς διχοστασίας καὶ τὰ σκάνδαλα· ἀλλ' ἐκείνοις μὲν μετάνοιαν εἰλικρινῆ καὶ ταχινήν, καὶ τὸν θεῖον φόβον τὰς καρδίας αὐτῶν μα-

Digitized by Google

λάσσοντα ἐν ἀγάπῃ καὶ ἁγιασμῷ δωρησάμενος, τὸν δὲ κακομήχανον καὶ σκότιον τῶν ζιζανίων σπορέα ὑπὸ τοὺς πόδας ἡμῶν ἐν τάχει συντρίψας σώζοι ἅπασαν τὴν χριστοφόρον ἐκλογάδα τῆς εὐσεβείας, ποιμαίνοντάς τε καὶ ποιμαινομένους, ἀπὸ τῶν ἐρίδων καὶ τῶν σκανδάλων τοῦ πονηροῦ· ἐν δὲ τῷ μέλλοντι αἰῶνι καταξιοῖ τῆς αἰωνίου αὐτοῦ δόξης καὶ βασιλείας ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, παρ' οὗ καὶ τὰ σεβάσμια καὶ πολύτιμα ἔτη τῆς ὑμετέρας θεοφρουρήτου καὶ λίαν ἡμῖν περισπουδάστου Μακαριότητος γίγνοιτο αὐτῇ μὲν πάνολβα καὶ ὑγιεινά, πᾶσι δὲ τοῖς ὑπ' αὐτῆς ποιμαινομένοις ἀποστολικῶς θυμήρους καὶ θεοφιλοῦς εἰρήνης πάροχα, φωταγωγά τε καὶ σωτήρια. Ἀμήν.

͵Αωο', σεπτεμβρίου λ'.

Τῆς ὑμετέρας λίαν ἡμῖν περισπουδάστου
καὶ σεβασμίας κορυφῆς
ἀγαπητοὶ ἐν Χριστῷ ἀδελφοὶ
καὶ ὅλως πρόθυμοι

† Ο ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΓΡΗΓΟΡΙΟΣ
† Ὁ *Ἡρακλείας* ΠΑΝΑΡΕΤΟΣ
† Ὁ *Κυζίκου* ΝΙΚΟΔΗΜΟΣ
† Ὁ *Νικομηδείας* ΔΙΟΝΥΣΙΟΣ
† Ὁ *Νικαίας* ΙΩΑΝΝΙΚΙΟΣ
† Ὁ *Χαλκηδόνος* ΓΕΡΜΑΝΟΣ
† Ὁ *Δέρκων* ΝΕΟΦΥΤΟΣ
† Ὁ *Τορνόβου* ΓΡΗΓΟΡΙΟΣ
† Ὁ *Λαρίσσης* ΔΩΡΟΘΕΟΣ
† Ὁ *Δράμας* ΑΓΑΘΑΓΓΕΛΟΣ
† Ὁ *Σωζοαγαθουπόλεως* ΠΡΟΚΟΠΙΟΣ
† Ὁ *Νύσσης* ΚΑΛΛΙΝΙΚΟΣ
† Ὁ *Γρεβενῶν* ΓΕΝΝΑΔΙΟΣ

ΣΗΜ.—Τὰ ἀπὸ σελίδος 221-298 *ἐπίσημα γράμματα ἐξετυπώθησαν ἐν ἰδίῳ φυλλαδίῳ τίτλον φέροντι «Ἐπιστολιμαῖον Ὑπόμνημα τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας πρὸς*

τὰς λοιπὰς ὀρθοδόξους αὐτοκεφάλους ἁγίας Ἐκκλησίας περὶ τῆς κατὰ τὰ ἔτη 1868-1870 πορείας τοῦ κατὰ Βουλγάρους ἐκκλησιαστικοῦ ζητήματος».

Τοῦ κατὰ σεπτέμβριον τοῦ 1870 ἐκδοθέντος τούτου φυλλαδίου ἀνατύπωσις ἐγένετο τῷ 1894 ἐκ τοῦ πατριαρχικοῦ τυπογραφείου.—Ἐλλείπει ἐκ τοῦ φυλλαδίου τὸ «τακρίριον περὶ τῆς εἰς Ἐδιρνέκαπι παρ' ἐνορίαν στεφανώσεως τῶν Βουλγάρων» (σελ. 240-243), ὃ μεθεγράψαμεν ἐκ τοῦ πρωτοτύπου τοῦ ἐν τῷ πατριαρχικῷ γραμματοφυλακείῳ.

ΑΝΑΦΟΡΑΙ ΕΠΑΡΧΙΩΤΩΝ ΟΡΘΟΔΟΞΩΝ
περὶ παρανομιῶν κληρικῶν βουλγάρων

Α'.

Τὴν ὑμετέραν θειοτάτην, σοφωτάτην, καὶ προσκυνητήν μοι Παναγιότητα δουλικῶς προσκυνῶ πανευλαβῶς κατασπαζόμενος τὴν παναγίαν αὐτῆς δεξιάν·

Μετὰ ψυχικῆς θλίψεως τολμῶ διὰ τοῦ παρόντος μου ν' ἀναγγείλω τῇ ὑμετέρᾳ προσκυνητῇ μοι Παναγιότητι, ὅτι ὁ ἅγιος Βελισσοῦ ἀπέρριψε τέλος πάντων τὴν προσωπίδα, καὶ ὕψωσε τὴν σημαίαν τῆς ἀνταρσίας κατὰ τῆς μητρὸς ἡμῶν Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας. Τὴν παρελθοῦσαν κυριακὴν εἰς τὰς :7: ἱσταμένου, μεταβὰς ἔφιππος ἐπὶ τοῦ ἵππου τοῦ ἰατροῦ Πάντελη, ἀδελφοῦ τοῦ Παναρέτου, εἰς τὴν ἐκκλησίαν τῆς ἁγίας Κυριακῆς τὴν κατεχομένην ὑπὸ τῶν βουλγαριστῶν διέμεινεν ἐν τῷ ἱερῷ μέχρι τέλους τῆς λειτουργίας. Ὁ υἱός του Ἰωάννης* ἀνέγνωσεν ἐπ' ἄμβωνος τὴν ἀντεγκύκλιον ἐπιστολὴν τὴν ἐκδοθεῖσαν ὑπὸ τῶν ἐν Ὀρτάκιοϊ διαμενόντων βουλγαριστῶν ἀρχιερέων, ποιήσας καὶ μικράν τινα

* Ὁ μητροπολίτης Βελισσοῦ Γεννάδιος, πρότερον δὲ Δεβρῶν, ἦν ἐν τῷ ἐγγάμῳ κλήρῳ κατατεταγμένος, ἔχων καὶ τέκνα· Θανούσης τῆς συζύγου, ἐχειροτονήθη ἀρχιερεύς.

Digitized by Google

ἀνάπτυξιν ἐν τῇ καθομιλουμένῃ βουλγαρικῇ γλώσσῃ. Μετὰ δὲ τὴν ἀπόλυσιν τῆς λειτουργίας ὑπεδέχθη ὁ ἅγιος Βελισσοῦ εἰς τὸ παρακείμενον δωμάτιον τῶν ἐφόρων, ἔνθα παρῆσαν καὶ οἱ γνωστοὶ ἀρχηγοὶ τῶν ἐνταῦθα βουλγαριστῶν, καὶ ἔλαβε χώραν ἐκτεταμένη συνδιάλεξις περιστρεφομένη εἰς μόνον τὸ βουλγαρικὸν ζήτημα. Ἐκεῖθεν πάλιν ἔφιππος ὁ ἅγιος Βελισσοῦ, παρακολουθούντων καί τινων βουλγαριστῶν, μετέβη ἐν τῇ οἰκίᾳ ἑνὸς τῶν ἐφόρων τῆς μνησθείσης ἐκκλησίας, ὀνόματι Ρίζου, πρὸς ἐπίσκεψιν, καὶ ἐκεῖθεν μετέβη ἐν τῇ οἰκίᾳ του, ὅπου ἐδέχθη τὰς ἐπισκέψεις καὶ τὰ συγχαρητήρια τῶν βουλγαριστῶν.

Τούτων ἁπάντων γιγνομένων ὑπὸ τὰ βλέμματα καὶ τὴν ἀγανάκτησιν τοσούτου χριστιανικοῦ λαοῦ, ἐῶ τὴν ὑμετέραν προσκινητήν μοι Παναγιότητα νὰ συμπεράνῃ ὁποίαν κακίστην ἐντύπωσιν ἐπροξένησεν εἰς τοὺς χριστιανοὺς τὸ απονενοημένον τοῦτο κίνημα τοῦ ἁγίου Βελισσοῦ. Τὸ δὲ χείριστον, ὅπερ ἀνησυχεῖ τὸν λαὸν ἀπὸ χθὲς, εἶναι ὁ διαδοθεὶς λόγος ὅτι ὁ ἅγιος Βελισσοῦ τὴν προσεχῆ κυριακὴν θὰ ἱερουργήσῃ εἰς τὴν ἐκκλησίαν τῆς ἁγίας Κυριακῆς, συλλειτουργήσοντος αὐτῷ καὶ τοῦ ἀρχιμανδρίτου τοῦ Πέρλεπε Κυρίλλου τοῦ ἀρχιερατικῶς ἐκεῖσε προϊσταμένου, ὅστις, ὡς λέγεται, ἦλθε χθὲς ἐνταῦθα ἐπὶ τῷ σκοπῷ τούτῳ. Ὁ ἀρχιμανδρίτης δὲ οὗτος, ὡς πληροφοροῦμαι, μεταβαίνων ἐν τῇ ἐκκλησίᾳ Πέρλεπε ἵσταται εἰς τὸν θρόνον, φορῶν μανδύαν καὶ κρατῶν πατερίτζαν. Ἐγκαινίασε δὲ καὶ μίαν ἐκκλησίαν εἰς ἓν χωρίον τοῦ Πέρλεπε. Ταῦτα πάντα ἀναγγέλλων τῇ ὑμετέρᾳ προσκυνητῇ μοι Παναγιότητι, δὲν τολμῶ νὰ ἐπιβαρύνω τὰς ἱερὰς αὐτῆς ἀκοὰς δι' ἐκτεταμένων αἰτήσεων καὶ παρακλήσεων, καθότι γινώσκω θετικῶς ὅτι ἡ ὑμετέρα θειοτάτη Παναγιότης, ἐν τῇ συνέσει καὶ τῇ πολυπειρίᾳ αὐτῆς, θέλει ἐνεργήσει καὶ ἐκτελέσει πᾶν ὅ,τι χρήσιμον καὶ λυσιτελές ἐστι τῇ

Digitized by Google

παρούσῃ περιστάσει. Διατελῶ δὲ ὑποσημειούμενος βαθυσεβάστως
ἐν Βιτωλίοις, τῇ 10 ἰουνίου 1870
τῆς ὑμετέρας θεοφρουρήτου Παναγιότητος
δοῦλος ταπεινὸς καὶ τῶν διαταγῶν σας
πρόθυμος
† Ὁ Πελαγωνείας ΠΑΡΘΕΝΙΟΣ.

Υ. Γ. Τῇ στιγμῇ ταύτῃ ἔμαθον ὅτι ὁ ἅγιος Βελισσοῦ μεθαύριον τὴν παρασκευὴν ἀναχωρεῖ διὰ τὴν ἐπαρχίαν του.
† Ὁ αὐτός.

B'.

Τὴν ὑμετέραν θειοτάτην, σοφωτάτην, περινουστάτην, καὶ προσκυνητήν μοι Παναγιότητα ἐδαφιαίως προσκυνῶν τὴν παναγίαν δεσποτικήν μοι αὐτῆς δεξιὰν μετὰ πλείστης εὐλαβείας καὶ πόθου κατασπάζομαι.

Θεωρῶν καθῆκόν μου, ἵνα διατηρήσω συνέχειαν τῶν πρὸς τὴν μητέρα ἁγίαν τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν ἐκθέσεών μου, ἀναφορικῶς τῶν παρανόμων διαβημάτων τοῦ Σοφίας Δωροθέου καὶ τῶν συνεπειῶν αὐτῶν, ἔρχομαι διὰ τῆς παρούσης, ἵνα δηλώσω πρὸς τὴν ὑμετέραν θειοτάτην Παναγιότητα, ὅτι ἅμα εἰδοποιηθεὶς παρὰ τοῦ ἐν τῇ κωμοπόλει Μουσταφᾶ Πασιᾶ ἐπιτρόπου μου τὴν ἐκεῖσε ἔλευσιν τῶν ὑπὸ τοῦ εἰρημένου Σοφίας παρανόμως καὶ ἄνευ ἀνάγκης χειροτονηθέντων ἱερέων, ὧν τὰ καθέκαστα ἐξέθηκα ἐν τῇ ὑπὸ 10 παρελθόντος ταπεινῇ μου, ἔσπευσα διὰ γραμμάτων συμβουλευτικῶν τοὺς μὲν κατοίκους ἀποτρέψαι τοῦ ἀναγνωρίσαι αὐτοὺς ἱερεῖς, ὡς παρανόμως χειροτονηθέντας καὶ καθαιρε-

Digitized by Google

τέους κατὰ τοὺς θείους ἐκκλησιαστικοὺς κανόνας, τῷ δὲ ἐ-
πιτρόπῳ μου συστῆσαι προσοχὴν, ἵνα μὴ ἀπατηθεὶς συλ-
λειτουργήσῃ μετά τινος τῶν παρανόμων τούτων ἱερέων, ἀπο-
μακρυνόμενος ἐν περιπτώσει βίας ἀπὸ τῆς ἐκκλησίας. Κατὰ
συνέπειαν ὅθεν, οἱ τῆς μιᾶς ἐκεῖ ἐνορίας κάτοικοι, ὡς ὁμοφρο-
νοῦντες πάντες καὶ μὴ θελήσαντες ὑπακοῦσαι εἰς τὰς ἐκκλη-
σιαστικὰς προτροπὰς, ἐδέχθησαν τοὺς ἱερεῖς τούτους ἐν τῇ
ἐκκλησίᾳ των ἐπὶ ἱεροπραξίᾳ πρὸς γύμνασιν, οἱ τῆς ἄλλης
ὅμως ἐνορίας, τοῦ Γκεπρὰϊ ἐπιλεγομένης, ἐν διχογνωμίᾳ καὶ
διαιρέσει εὑρισκόμενοι, οἱ περισσότεροι ἀντέστησαν εἰς τὴν
ἐπὶ ἱεροπραξίᾳ εἴσοδον τοῦ συνενορίτου των παρανόμου ἱε-
ρέως ἐν τῇ ἐκκλησίᾳ των, ἧς προΐσταται ὁ ἐπίτροπός μου,
καὶ ἅμα τελευταίως εἶδον διοργανιζομένην πλείονα βίαν πρὸς
εἰσαγωγὴν αὐτοῦ ἐν τῇ ἐκκλησίᾳ, ἐδήλωσάν μοι τὰς δεινὰς
συνεπείας τοιαύτης βιαίας ἐπεμβάσεως τῶν ἐναντίων καὶ ἐ-
ξῃτήσαντο τὴν δυνατὴν ἐντεῦθεν ὑπεράσπισιν καὶ προστα-
σίαν δι' ἐνσφραγίστου καὶ ἐνυπογράφου ἀναφορᾶς των, ἧς
κἀγὼ διαβιβάσας μετάφρασιν διὰ τακριρίου μου πρὸς τὴν
Α. Ὑψηλότητα τὸν νομάρχην Ἀδριανουπόλεως ὑπέδειξα τὸ
ἐπάναγκες τῆς πολιτικῆς περιστολῆς τῶν παρανόμων ἐπεμ-
βάσεων τοῦ διαληφθέντος ἱερέως καὶ τῶν ὁμοφρόνων του ἐν
τῇ ἐκκλησίᾳ, πρὸς ἀποφυγὴν παντὸς ἀπευκταίου, ἐφ' ὧν ηὐ-
δόκησε μὲν ἡ Ὑψηλότης του διατάξαι αὐθωρὶ τὴν περιστολὴν
τοιούτων ἀτοπημάτων καὶ συστῆσαι ἐπ' αὐτῶν τὴν ἄγρυ-
πνον προσοχὴν τῆς ἐπιτοπίου διοικήσεως, ἄγνωστον ὅμως
ἐπὶ πόσον ἡσυχάσουσιν οἱ διηνεκῶς ἐρεθιζόμενοι καὶ ἐξα-
πτόμενοι ἐκεῖ. Καὶ ταῦτα μὲν ἐκ προοιμίων πηγάζουσιν ἐκ
τῶν παρανόμων τολμημάτων τοῦ ἐν λόγῳ Σοφίας, δεινὴν ἐν-
τύπωσιν ἐμποιοῦντα εἰς παντὸς εὐσεβοῦς καὶ ὀρθοφρονοῦν-
τος καρδίαν, ἐξ ὧν καὶ οἱ ἐνταῦθα πρόκριτοι καὶ προϊστάμε-
νοι τῶν ἐνοριῶν παρακινούμενοι συνέταξαν καὶ σφραγίσαν-

Digitized by Google

τες ταῖς ἐκκλησιαστικαῖς σφραγίσιν ὑπέγραψαν ἀναφορὰν πρὸς τὴν Μητέρα ἁγίαν τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν, ἥτις καὶ ἀποστέλλεται σήμερον πρὸς τὴν ὑμετέραν θειοτάτην Παναγιότητα, ὅπως καὶ ἐκ τῆς τούτων ἐκθέσεως ᾗ ἐν γνώσει τῶν ὑπὸ τοῦ Σοφίας διαπραττομένων διὰ πᾶσαν περίπτωσιν.

Ἐν τούτοις διατελῶ μετὰ πλείστου σεβασμοῦ καὶ ἀφοσιώσεως,

ἐν Ἀδριανουπόλει, τῇ 9 ὀκτωβρίου 1870,

τῆς ὑμετέρας θειοτάτης, σοφωτάτης, περινουστάτης, καὶ προσκυνητῆς μοι Παναγιότητος

τῶν διαταγῶν ὁλοπρόθυμος

† Ὁ Ἀδριανουπόλεως ΚΥΡΙΛΛΟΣ.

Γ'.

Παναγιώτατε δέσποτα καὶ ἁγία καὶ ἱερὰ Σύνοδος

Οἱ βαθυσεβάστως ὑποφαινόμενοι κάτοικοι Ἀδριανουπόλεως, διὰ προηγουμένης μερικῆς ἀναφορᾶς δηλώσαντες πρὸς τὴν Μητέρα ἁγίαν τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν τὰς ἀτοπίας καὶ παρατολμίας τῶν βουλγαριστῶν τῆς περιφερείας ταύτης κατὰ συνέπειαν τῆς μεταξύ των διαθρυλληθείσης λύλεως δῆθεν τοῦ βουλγαρικοῦ ζητήματος, δὲν λείπομεν καὶ διὰ τῆς παρούσης ἡμῶν γενικῆς ταπεινῆς ἀναφορᾶς, ἵνα φέρωμεν εἰς γνῶσιν ὑμῶν χείρονας παρανομίας τῶν εἰρημένων, ἐνεργουμένας ἀδεῶς ὑπὸ τὸ ἄγρυπνον ὄμμα καὶ αὐτῆς τῆς σεβ. διοικήσεως, καὶ ἐπικαλεσθῶμεν τὴν σύντονον ὑμῶν προστασίαν καὶ συναντίληψιν. Δὲν ἀγνοοῦμεν ὅτι ὁ σεβ. ἡμῶν μητροπολίτην ἐγκαίρως διεκοίνωσεν ὑμῖν ἐν λεπτομερείᾳ τὰ παράτολμα διαβήματα τῶν ἐνταῦθα ὀργάνων τῆς αὐτόθι βουλγαρικῆς προπαγάνδας καὶ τὰς γενομένας προσπαθείας πρὸς περιστο-

Digitized by Google

·λὴν αὐτῶν, ἀλλὰ καὶ ἡμεῖς οἱ τὸ κέντρον τῆς μητροπολιτικῆς ταύτης περιφερείας οἰκοῦντες, βλέποντες μετὰ λύπης τὴν ὁσημέραι δείνωσιν τῶν πραγμάτων ἐναντίον τῶν φιλολάων σκοπῶν τῆς Α. Α. Μεγαλειότητος τοῦ κραταιοτάτου καὶ εὐεργετικωτάτου ἡμῶν ἄνακτος, τοῦ πατρικῶς κηδομένου τῆς ἐν ἀδελφικῇ ἀγάπῃ καὶ ὁμονοίᾳ συμβιώσεως τῶν ὑπὸ τὸ σκῆπτρον αὐτοῦ διατελούντων λαῶν, ἄνευ διακρίσεως ἐθνικότητος καὶ θρησκείας, οὐκ ἄσκοπον οὐδὲ ἐκτὸς τῶν καθηκόντων ἡμῶν θεωροῦμεν, ἵνα καὶ ἰδιαιτέρως ἐκθέσωμεν ὑμῖν, ὅτι οἱ πρότερον ὑπούλως καὶ κρυφίως ἐξαπατήσαντες τοὺς ἁπλοῦς χωρικοὺς πρὸς σφράγισιν ἀναφορᾶς ἀγνώστου αὐτοῖς ἐννοίας, ἤδη θαρραλεώτεροι καθιστάμενοι, ἤρξαντο ἀναφανὸν δι' ἀνθρώπων ἱερωμένων τε καὶ λαϊκῶν, διαρκῶς καὶ ἀκωλύτως περιερχομένων τὰ χωρία, ἐρεθίζειν αὐτοὺς κατὰ τῆς νομίμου ἐκκλησιαστικῆς αὐτῶν ἀρχῆς, ἀποτρέπειν καὶ κωλύειν τούτους προσέρχεσθαι αὐτῇ ἐν συμπιπτούσαις ἀνάγκαις καὶ συνιστᾶν αὐτοῖς ἰδέας καὶ φρονήματα ὅλως ἀντικανονικὰ καὶ ἀντικοινωνικά, διὰ τοιούτων δὲ ἀνοικείων καὶ ἀσυγγνώστων μέσων εἰς τοιαύτην ταραχὴν καὶ σύγχυσιν κατήντησαν τὰ χωρία καὶ αὐτὰ ἀκόμη τὰ τρεῖς καὶ τέσσαρας ὥρας τῆς Ἀδριανουπόλεως ἀπέχοντα, ὥστε χαλαρωθέντος παντὸς δεσμοῦ καὶ σχέσεως αὐτῶν πρὸς τὴν ἱερὰν μητρόπολιν, ἄλλοι μὲν τῶν ἱερέων μνημονεύουσι τὸ τοῦ Ἱλαρίωνος ὄνομα, ἄλλοι τὸ τοῦ Δωροθέου καὶ ἄλλοι ἄλλο. Τούτων δὲ οὕτως ἐνεργουμένων ἐντεῦθεν, ἀφ' ἑτέρου ὁ ἐκ Πύργου εἰς τὰ μέρη Σηλύμνου τῆς ἐπαρχίας ταύτης, ὡς μὴ ὤφειλεν, ἐμφανισθεὶς Σοφίας Δωρόθεος, ὁ καὶ ἄλλοτε τὴν πόλιν ἡμῶν ἐν ῥᾳδιουργίαις διαταράξας, προκαλεῖ ἐκ διαφόρων μερῶν τοὺς ὑπὸ τῶν ἐν λόγῳ ὀργάνων συνιστωμένους φιλοταράχους καὶ χειροτονεῖ τούτους παρανόμως ἱερεῖς πρὸς διηνεκῆ διερέθισιν τῶν κατοίκων ἐν τῇ ἐπανόδῳ των, προέβη καὶ προβαίνει εἰς ἐγκαινιάσεις ἐκκλη-

Digitized by Google

σιῶν οὐ μόνον ἐντὸς τῆς ἐπαρχίας (σαντζακίῳ) Σηλύμνου, ἣν θεωρεῖ ἴσως ὑποκειμένην τῇ λεγομένῃ βουλγαρικῇ Ἐξαρχίᾳ, ἀλλὰ καὶ ἐκτὸς ταύτης, καθ' ἃς ἐν πληθύϊ λαοῦ. προσκαλουμένου καὶ συρρέοντος ἐκ διαφόρων μερῶν, διαδίδει τὰς ἀντικανονικὰς αὐτοῦ ἰδέας, διεγείρων τούτους κατὰ τῆς νομίμου ἐκκλησιαστικῆς αὐτῶν ἀρχῆς, προτίθεται δὲ, καθὰ ὑπὸ τῶν βουλγαριστῶν βεβαιοῦται, καὶ τὰ πλησίον τῆς Ἀδριανουπόλεως μέρη ἐπὶ τοιούτῳ σκοπῷ περιελθεῖν καὶ ἐν αὐτῇ δὲ τῇ πόλει ἐλθεῖν πρὸς ἐγκαινίασιν τῆς ἐν Κιρεσχανὲ νεοδμήτου βουλγαρικῆς ἐκκλησίας. Ταῦτα τὰ ὑπερβάντα πᾶν ὅριον ὑπομονῆς αὐθαίρετα διαβήματα τῶν εἰρημένων βλέποντες καὶ ἀπέναντι τῆς ὁσημέραι ἐλευθερώτερον ἐξασκήσεως αὐτῶν ἀναλογιζόμενοι τὸ πιθανὸν τῆς ἀποτολμήσεως αὐτοῦ καὶ ἐν αὐτῇ τῇ πρωτευούσῃ τῆς προνομιούχου ταύτης ἐπαρχίας εἰσελθεῖν ἐπὶ παρανόμῳ ἱεροπραξίᾳ, καὶ ἐν τῇ τοιαύτῃ περιπτώσει ἀπέναντι ἐξημμένων πνευμάτων τοῦ λαοῦ, προβλέποντες ἀνησυχίας καὶ ταραχὰς οὐ τὰς τυχούσας, μελλούσας ἔχειν σοβαρὰς συνεπείας ἐπὶ τῆς κοινῆς ἡσυχίας, προλαμβάνομεν, ἵνα παρακαλέσωμεν ὑμᾶς θερμῶς, ὅπως εὐαρεστηθέντες ἐνεργήσητε δραστηρίως καὶ ἀποτελεσματικῶς, δι' οἵας ἐγκρίνετε ὁδοῦ, τὴν ταχυτέραν περιστολὴν τῶν ὡς εἴρηται ἀτόπων δημεγερτικῶν κινημάτων, ὧν οὐχὶ ἐν ἀγνοίᾳ διατελεῖ καὶ ἡ ἐνταῦθα σεβ. διοίκησις ἐκ τῶν διὰ τοῦ σεβ. ἡμῶν μητροπολίτου γενομένων ἐπὶ τούτῳ ἁρμοδίων διαμαρτυρήσεων καὶ αἰτήσεων. Ἐν τούτοις ἐπαναπαυόμενοι εἰς τὴν σύντονον ὑμῶν προστασίαν καὶ συναντίληψιν, καὶ εὐελπιστοῦντες τὴν ἐκπλήρωσιν τῆς θερμῆς ἡμῶν ταύτης παρακλήσεως, ὑποδιατελοῦμεν μετὰ πλείστου σεβασμοῦ καὶ ἀφοσιώσεως

ἐν Ἀδριανουπόλει, τῇ 3 ὀκτωβρίου 1870

τῆς ὑμετέρας θειοτάτης, σοφωτάτης, περινουστάτης, καὶ

Digitized by Google

Προσκυνητῆς ἡμῖν Παναγιότητος μετὰ τῆς περὶ αὐτὴν ἁγίας καὶ ἱερᾶς Συνόδου

τέκνα ἐν Κυρίῳ πειθήνια καὶ πρόθυμοι θεράποντες

ΕΝΟΡΙΑ ΜΗΤΡΟΠΟΛΕΩΣ·— τρεῖς ὑπογραφαὶ καὶ ἡ σφραγίς.

ΕΝΟΡΙΑ ΧΡΙΣΤΟΥ·—τρεῖς ὑπογραφαὶ καὶ ἡ σφραγίς.

ΕΝΟΡΙΑ ΤΑΞΙΑΡΧΩΝ·—τρεῖς ὑπογραφαὶ καὶ ἡ σφραγίς.

ΕΝΟΡΙΑ ΠΡΟΔΡΟΜΟΥ·—τρεῖς ὑπογραφαὶ καὶ ἡ σφραγίς.

ΣΦΡΑΓΙΣ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ ΚΗΡΙΣΧΑΝΕ·—ἕνδεκα ὑπογροφαί.

ΣΦΡΑΓΙΣ ΑΓΙΟΥ ΝΙΚΟΛΑΟΥ· -τρεῖς ὑπογραφαί.

ΣΦΡΑΓΙΣ ΠΑΝΑΓΙΑΣ·—πέντε ὑπογραφαί

ΕΙΚΟΣΙΝ ΕΞ ΠΡΟΚΡΙΤΟΙ ὑπογράφουσι παρ' αὐτάς, οἱ ἑξῆς· Ἐλευθέριος Ἰωάννου Ἀλτὶν-ἀλμάζή, Χατζῆ Παναγιώτης Τζηρίτης, Δημ Κωνσταντίνου, Χατζῆ Ἀθανάσιος Χατζῆ Γεωργίου, Πέτρος Ράτη, Γεώργιος Ἰωάννου, Νεστοράκης Ἀποστόλου, Γ. Κουροὺ Πέτρου. Ἀντ. Χατζῆ Διαμαντῆ, Π. Α. Πολυχρονιάδης, Ἀλ. Γ. Βιγκολίδης, Δημ. Ἰω. Ζώτου, Κυριάκος Χριστόφα, Χατζῆ Δημητράκης Ἰωάννου, Χατζῆ Ἰωάννης Παρασχίδης, Ἰακ. Ιωάννου, Στεφ. Μ. Καλλίας, Χατζῆ Χρ. Ἰωάννου, Κωστῆς Μαυρίδης, Στεφ. Ἰωάννου, Πέτρος Μ. Βαλιάσογλου, Παναγ. Κωνσταντίνου, Παῦλος Πέτρου, Χρηστάκης Νικολάου, Χρ. Κωνσταντινίδης; Ἀλέξ. Χατζῆ Μιχαήλ.

Πατριαρχικὴ ἐπιστολὴ τῷ Καρλοβίτσης καὶ τῷ Βελιγραδίου

Ἀριθ. πρωτ. 4882.
» Διεκ : 3769.

Πανιερώτατε καὶ θεοπρόβλητε μητροπολῖτα Καρλοβίτζης, ἐν Χριστῷ τῷ Θεῷ λίαν ἀγαπητὲ καὶ περιπόθητε ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος κὺρ Σαμουήλ· τὴν φίλην ἡμῖν αὐτῆς πανιερότητα ἀδελφικῶς ἐν Κυρίῳ κατασπαζόμεθα.

Οὐκ ἀγνοεῖ πάντως καὶ ἡ περισπούδαστος ἡμῖν αὐτῆς πανιερότης ἡλίκον ὅσον ἐπήνεγκε

Digitized by Google

τάραχον τῇ Ἐκκλησίᾳ τὸ ἤδη πολύκροτον καταστὰν βουλγαρικὸν λεγόμενον ζήτημα, διά τε τὰς οὐ καλὰς αὐτοῦ ἀφορμὰς καὶ τὰς σχετλίας συνεπείας, καθὰ δηλοῦται ἀπὸ τῶν πέρυσιν ἀρχομένου φεβρουαρίου διαπεμφθέντων αὐτῇ ἐκκλησιαστικῶν γραμμάτων καὶ τῶν περὶ τοῦ ἐν λόγῳ ζητήματος ἐντύπων τευχῶν. Ἐπεὶ δὲ πρὸ τοῦ ἐξενεγκεῖν τὴν τελείαν καὶ ἀποχρῶσαν λύσιν κατ' ἀπόφασιν γενικωτέρας καὶ Οἰκουμενικῆς Συνόδου, δεῖν ᾠήθημεν, ὃν τρόπον καὶ πρότερον, οὕτω καὶ κατὰ τὰ ἔσχατα δύο ἔτη, σκιαγραφῆσαι τὴν πορείαν αὐτοῦ καὶ γνωρίσαι κεφαλαιωδῶς καὶ ἐν συνόψει ἐκ προκαταβολῆς πάσαις ταῖς ἁπανταχοῦ ὀρθοδόξοις ἁγίαις τοῦ Χριστοῦ Ἐκκλησίαις, ταῖς αὐτοκεφάλοις ὁμοίως, καθάπερ καὶ ταῖς ὑπὸ τὸν ἁγιώτατον Οἰκουμενικὸν τοῦτον Θρόνον κανονικῶς τεταγμέναις· Διὰ ταῦτα ἐν ἑνὶ τεύχει συμπεριειληφότες καὶ τύποις ἐκδεδωκότες διὰ τὸ εὔχρηστον καὶ εὐανάγνωστον τὰ τοῦ ζητήματος τούτου, διαπέμπομεν καὶ τῇ φίλῃ ἡμῖν αὐτῆς πανιερότητι σὺν τοῖς περὶ αὐτὴν θεοφιλεστάτοις ἐπισκόποις τρία τεύχη, ὅπως καὶ ὑμεῖς μετ' ἐπιστασίας ἀναγνόντες τὰ ἐν αὐτῷ δηλώσητε ὅ,τι ἂν ὑμῖν δόξῃ, Θεοῦ φωτίζοντος, πρὸς τὸ λυσιτελὲς ἁπάσῃ τῇ ὀρθοδόξῳ τοῦ Χριστοῦ Ἐκκλησίᾳ· οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ τῆς φίλης ἡμῖν αὐτῆς πανιερότητος.

,α ,ω ο: ὀκτωβρίου κα·*

ΑΠΑΝΤΗΣΕΙΣ ΑΥΤΟΚΕΦΑΛΩΝ ΕΚΚΛΗΣΙΩΝ

ΠΡΟΣ ΤΗΝ ΕΓΚΥΚΛΙΟΝ ΤΗΣ 30 ΣΕΠΤΕΜΒΡΙΟΥ 1870

Α' Ἐκκλησίας Ἀλεξανδρείας

Παναγιώτατε, θειότατε καὶ σεβασμιώτατε οἰκουμενικὲ πατριάρχα, ἐν Χριστῷ τῷ Θεῷ λίαν ἀγαπητὲ καὶ περιπόθητε ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος, κύριε Γρηγόριε· τὴν φίλην ἡμῖν αὐτῆς σεβασμιοπόθητον Πανα-

* τὰς τῶν ἀνεγνωρισμένων ὑπὸ τῆς Μ. Ἐκκλησίας αὐτοκεφάλων Ἐκκλησιῶν γνώμας ἡ Μ. Ἐκκλησία ἐκζητήσασα (ὡς ἐν σελ· 297 τοῦ παρόντος συγγράματος) διὰ τῆς ἐγκυκλίου, πρὸς τοὺς μητροπολίτας Καρλοβίτζης καὶ Βελιγραδίου ἰδίως ἔγραψεν ἀποστείλασα οὐχὶ ἐν χειρογράφῳ, ἀλλ' ἔντυπον φυλλάδιον, μετὰ τῆς ὑπ' ἀριθμὸν 4882 προτασσομένης τῶν ἀπαντήσεων τῶν Ἐκκλησιῶν ἐπιστολῆς.

γιότητα ἀδελφικῶς ἐν Κυρίῳ κατασπαζόμενοι ὑπερήδιστα προσαγορεύομεν.

Μετὰ πόθου ἀδελφικοῦ καὶ περιχαρείας ἐδεξάμεθα τὸ ἀπὸ 30 σεπτεμβρίου τοῦ ἤδη λήγοντος σωτηρίου ἔτους περισπούδαστον σεβάσμιον αὐτῆς πατριαρχικὸν καὶ συνοδικὸν Ἐπιστολιμαῖον Ὑπόμνημα μετὰ τῶν ἐμπεριϰλειομένων ἐπισήμων ἐντύπων ἐγγράφων περὶ τοῦ πολυκρότου, ὡς μήποτ' ὤφειλε, βουλγαρικοῦ ζητήματος τοῦ ἀπὸ δεκαετίας ἤδη και ἐπέκεινα καὶ πάσας μὲν τῶν ἄλλων ἀποστολικῶν θρόνων, ἰδίᾳ δὲ τὴν Μεγάλην τοῦ Χριστοῦ Ἐκκλησίαν καὶ ἐν γένει πᾶσαν ὀρθόδοξον χριστιανικὴν καρδίαν συνταράττοντός γε καὶ καταθλίβοντος. Καὶ ἐπὶ μὲν τοῖς θυμηδεστάτοις εὐαγγελίοις τῆς εὐκταιοτάτης ἡμῖν ἀγαθῆς αὐτῆς ὑγιείας ὑπερβαλλόντως λίαν ἐχάρημεν δόξαν ἀναπέμψαντες τῷ παναγάθῳ Θεῷ. Ἐπὶ δὲ τοῖς ἐνδιαλαμβανομένοις ἔν τε τῷ ὑπομνήματι καὶ τοῖς εἰρημένης ἐγγράφοις ἐπιστήσαντες τὴν διάνοιαν καὶ μετὰ τῆς δεούσης βαθυνοίας ἐμμελετήσαντες ἐπέγνωμέν τε καὶ ἐπληροφορήθημεν προσηκόντως καὶ ἀξιοχρέως ὅσαπερ ἐπὶ τοῦ προκειμένου ζητήματος ἡ Μεγάλη τοῦ Χριστοῦ Ἐκκλησία μετῆλθε μέσα καὶ διεπράξατο, φιλοστόργως πάνυ προνοοῦσα καὶ κηδομένη, καὶ τὴν κανονικὴν καὶ ἔννομον λύσιν τοῦ ζητήματος ἱμειρομένη. Ἐπεὶ δὲ ἐκ φιλαδέλφου διαθέσεως προσκαλούμεθα ἵνα δηλώσωμεν καὶ ἡμεῖς τὴν ἡμετέραν γνώμην περὶ τῶν γεγονότων τούτων καὶ πράξεων τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἡμεῖς μὲν εἰ καὶ πρότερον κατὰ τὴν θ' ἰουνίου τοῦ ͵αωξζ' σωτηρίου ἔτους, τέως ἰδιωτεύοντες καὶ ἐν τῇ νήσῳ τῆς Πριγκήπου ἐφησυχάζοντες, συνεπείᾳ ἀδελφικοῦ αὐτῆς πιττακίου συνοδευομένου μετά τινος σχεδίου πρὸς λύσιν τοῦ διαληφθέντος βουλγαρικοῦ ζητήματος, ἐξεδηλώσαμεν οἰκείαν τινα ταπεινὴν γνώμην, προελθοῦσαν πάντως ἐκ συντόνου καὶ ἐπισταμένης σκέψεως, ἥν τινα καὶ διετυπώσαμεν, νομίζομεν,

Digitized by Google

ὡς ἑξῆς: «Νὰ καταβληθῇ ἡ προσήκουσα φροντὶς, ὅπως μὴ καὶ αὖθις ἐκτεθῇ ἐπὶ ματαίῳ ἡ ἀξιοπρέπεια τοῦ πατριαρχικοῦ Θρόνου τρίτην ταύτην φορὰν καὶ περιφρονηθῇ ὑπὸ τῶν ὁσημέραι ἐπιθετικώτερον χαρακτῆρα ἀναλαμβανόντων ἀντιπροσώπων τῶν βουλγάρων· ἐντεῦθεν πρὸς ἀποφυγὴν τούτου καὶ πρὸς πλείονα ἀσφάλειαν τῆς Ἐκκλησίας θεωροῦμεν ἀναγκαῖον καὶ συνεπὲς πρὸς τὴν φύσιν τῶν πραγμάτων ἓν ἐκ τῶν δύο, ἢ ἡ Ἐκκλησία νὰ ζητήσῃ προηγουμένως διὰ τῆς Ὑψ. Πύλης ἀπάντησιν παρὰ τῶν βουλγάρων ἐπὶ τῆς γενομένης δευτέρας ἀποφάσεως πρὸς λύσιν τοῦ ζητήματος, καὶ ἀφ' οὗ μάθῃ οὕτω, κατ' ἀναφορὰν πρὸς ἕκαστον ἄρθρον, τοὺς λόγους, δι' οὓς δὲν ἐγένετο ὑπ' αὐτῶν παραδεκτὸν τὸ σχέδιον ἐκεῖνο, τότε νὰ σκεφθῇ περὶ ἑτέρου σχεδίου κατὰ συνέπειαν τῶν γενησομένων παρατηρήσεων, ἢ ἄλλως νὰ εὑρεθῇ ὁ τρόπος ὥστε νὰ προβῶσι πρῶτοι αὐτοὶ οἱ βούλγαροι προτείνοντες τοιοῦτον μέτρον, ἤγουν τὴν ὑπὸ τῆς Ἐκκλησίας ἀναγνώρισιν ἰδίου βουλγαρικοῦ θέματος, καὶ ἡ Ἐκκλησία νὰ φανῇ τότε συγκαταβαίνουσα καὶ οἰκονομικῶς παραδεχομένη διὰ παραχωρήσεως ἰδιαιτέρων ἐκκλησιαστικῶν προνομίων, ὁποίων ποιεῖται μνείαν τὸ ἀποσταλὲν ἡμῖν νέον σχέδιον». Καὶ ἡμεῖς μὲν τότε τοιαῦτα ἐγνωματεύομεν καὶ ἀπεφαινόμεθα· ἐπειδὴ δ' ἔκτοτε μέχρι τῆς νῦν πολλὰς καὶ πολυειδεῖς ὑπέστη μορφὰς καὶ φάσεις καὶ πολλὰ καὶ ποικίλα ἐνεφιλοχώρησαν τὰ ἐν τῷ μέσῳ ἀναφορικῶς τοῦ ζητήματος τούτου, καὶ ἐπειδὴ ἡ Μεγάλη τοῦ Χριστοῦ Ἐκκλησία ἐξῃτήσατο ἐπανειλημμένως καὶ ἐπιμόνως ἄλλως τ' ἐν τοῖς ἐσχάτοις ἤδη παρὰ τῆς Ὑψ. Πύλης τὴν συγκρότησιν Οἰκουμενικῆς Συνόδου, ὡς ὕπατον δῆτα καὶ θεοφράδμον δικαιωτήριον καὶ μόνον δυνάμενον ἐπενεγκεῖν ἀξιοπιστίαν ψήφου θεοκράντου καὶ τοῖς πιστοῖς ἀπαρατρέπτου καὶ ἀνεκκλήτου, μεμαθήκαμεν δὲ καὶ ἔναγχος, ὅτι ἡ Ὑψ. Πύλη κηδεμονικῶς πάνυ ὑπὲρ τῆς ἡσυχίας καὶ

Digitized by Google

εὐημερίας τοῦ ὑπηκόου αὐτῆς προνοουμένη καὶ τῆς ἄρσεως τῶν δεινῶν καὶ τῆς διχοστασίας ἐφιεμένη ὑπέδειξε τὴν συγκατάθεσιν αὐτῆς ὑπὲρ τῆς συγκροτήσεως τοιαύτης Συνόδου· διὰ ταῦτα πάντα, λέγομεν, ἐπιφυλασσόμεθα ἵνα, ὁποτ' ἂν διδῷ Κύριος, συναγειρομένης τῆς Οἰκουμενικῆς Συνόδου, ἐκφέρωμεν καὶ ἡμεῖς τὴν οἰκείαν ταπεινὴν ἡμῶν γνώμην περὶ πάντων γενικῶς τῶν ἀφορώντων τὸ ζήτημα· καθὰ καὶ ἡ σεβασμία ἡμῖν αὐτῆς Παναγιότης, ἀπαντῶσα ἐσχάτως εἰς τὸν τελευταῖον ὑψ. βεζυρικὸν τεσκερὲν ὑπὸ ἡμερομηνίαν δ' νοεμβρίου ͵αωο' ἐπὶ λέξεως λέγει, ὅτι «τὸ ἔργον (τῆς περὶ ἧς ὁ λόγος) Συνόδου περιορίζεται... εἰς τὸ νὰ συζητήσῃ τὸ εἰρημένον βουλγαρικὸν ζήτημα, καὶ ἀφ' οὗ πρῶτον μὲν λάβῃ ἀκριβῆ γνῶσιν περὶ τοῦ ζητήματος κυρίως, δεύτερον δὲ ἐξετάσῃ καὶ συζητήσῃ τάς τε ἀπαιτήσεις τῶν βουλγάρων καὶ τὰς ὑπὸ τῶν Πατριαρχείων γενομένας παραχωρήσεις, ἐξενέγκῃ ἀπόφασιν τελεσίδικον, κατὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας». Καὶ ταῦτα μὲν παρ' ἡμῶν εἰς ἀπάντησιν· εἴησαν δὲ τὰ σεβάσμια αὐτῆς ἔτη πλεῖστα, ὑγιεινά, πανευφρόσυνα, καὶ σωτηριωδέστατα. ͵αωο' δεκεμβρίου, ιβ' ἐν Καΐρῳ.

Τῆς φίλης ἡμῖν αὐτῆς σεβασμίας Παναγιότητος
ἀγαπητὸς ἐν Χριστῷ ἀδελφὸς
καὶ ὅλως πρόθυμος
† Ὁ Ἀλεξανδρείας ΣΩΦΡΟΝΙΟΣ.

Β' Ἐκκλησίας Ἀντιοχείας

Παναγιώτατε, θειότατε καὶ σεβασμιώτατε οἰκουμενικὲ πατριάρχα, κύριε κύριε Γρηγόριε, ἐν Χριστῷ τῷ Θεῷ λίαν ἀγαπητὲ καὶ περιπόθητε ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν με-

Digitized by Google

τριότητος· τὴν σεβασμιωτάτην καὶ περισπούδαστον ἡμῖν αὐτῆς Παναγιότητα ἀδελφικῶς ἐν Κυρίῳ περιπτυσσόμενοι ὁλοψύχως ἐν ἁγίῳ φιλήματι κατασπαζόμεθα καὶ ὑπερήδιστα προσαγορεύομεν.

Τὴν ἀπὸ λ' τοῦ παρελθόντος σεπτεμβρίου ἀδελφικὴν καὶ σεβασμίαν ἡμῖν αὐτῆς ἐπιστολὴν πόθῳ ἀδελφικῷ κομισάμενοι μετὰ τῶν ἐπισυνημμένων αὐτῇ ἐγγράφων ἐν ἐντύπῳ παραρτήματι, καὶ μετὰ πλείσης ὅσης σκέψεως εἰς τὴν ἀκριβῆ αὐτῶν μελέτην ἐγκύψαντες καὶ καλῶς τὰ περιεχόμενα ἐννοήσαντες, ὅσα καὶ αὖθις ἡ ὑμετέρα σεβασμιωτάτη ἡμῖν Παναγιότης ἐκ κατωδύνου ψυχῆς καὶ βαθυτάτης θλίψεως ἀνακοινοῖ ἡμῖν περὶ τοῦ πολυκρότου βουλγαρικοῦ καλουμένου ἐκκλησιαστικοῦ ζητήματος, ἐτρώθημεν ἀληθῶς κατὰ μέσην καρδίαν ἐπὶ τοῖς ἀφηγουμένοις ἐν τῇ σεβασμίᾳ αὐτῆς ἐπιστολῇ, ἀναμετροῦντες τὸ μέγεθος τῶν θλίψεων, ὑφ' ὧν ἀπὸ τοσούτου ἤδη χρόνου κατέχεται ἐν τῷ γήρατι αὐτῆς, καὶ, ὅπερ ἀλγεινότατον καὶ πολλῶν δακρύων ἄξιον, ὅτι οὐκ ἀλλόδοξός τις λαὸς ὁ τὴν ἱερὰν αὐτῆς ψυχὴν καταλυπῶν καὶ τὴν ἐκκλησιαστικὴν εἰρήνην ταράττων, οὐδ' ὅλως ἄπειρος καὶ ἀδαὴς τυγχάνων τῶν ἱερῶν καὶ ὑψηλῶν δογμάτων καὶ κανόνων, δι' ὧν πανσόφως κυβερνᾶται τὸ θεότευκτον καὶ πάγκοινον σκάφος τῆς Ἐκκλησίας ἐν τῷ πελάγει τῶν αἰώνων ἀπὸ τοῦ πρώτου αὐτοῦ ἡγέτου καὶ ἰθύντορος αὐτοῦ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῶν θεοπνεύστων Ἀποστόλων καὶ πατέρων τῆς Ἐκκλησίας, ἀλλ' ὀρθόδοξος, οἷος ὁ βουλγαρικὸς, καὶ εὐσεβὴς ἐκ προγόνων, καὶ ζηλωτὴς πρὸς τὰ πάτρια καὶ θεοπαράδοτα τῆς Ἐκκλησίας δόγματά τε καὶ διδάγματα. Καὶ ἐπ' αὐτῷ δὲ τούτῳ ἀθυμοῦντες καὶ ἡμεῖς συμμεριζόμεθα πληρέστατα τὰς δικαίας αὐτῆς θλίψεις. Ἐξ ὅσων γὰρ ὁρῶμεν ἐν τῇ ἀδελφικῇ αὐτῆς ἐπιστολῇ καὶ τοῖς ῥηθεῖσιν ἐγγράφοις, αἱ κατὰ ἀπρίλιον τοῦ ἤδη φθίνοντος ἔτους κινηθεῖσαι ἔκθεσμοι ἀπόπειραι

παρὰ τῶν ἀντιπροσώπων τοῦ βουλγαρικοῦ λαοῦ πρὸς φυλετικὸν ἀπὸ τῆς Ἐκκλησίας χωρισμὸν, καὶ ὁ ἐπὶ προφανεῖ καταπατήσει τῶν ἱερῶν νόμων καὶ κανόνων τῆς Ἐκκλησίας καὶ περιφρονήσει τῆς ἰδίας κανονικῆς πνευματικῆς ἀρχῆς φατριασμὸς τῶν ἐν Μεσαχωρίῳ (Ὀρτάκιοϊ) ἀντικανονικῶς ἐνδημησάντων ἀρχιερέων (Ἀποστ. ιε', λα' — τῆς Α' ιε' καὶ τοὺς τούτοις συστοίχους) καὶ τῇ γνωστῇ ἐκείνῃ ὁμάδι τῶν ὑπὸ τῆς Ἐκκλησίας καθῃρημένων πρῴην Φιλιππουπόλεως Παϊσίου καὶ τοῦ Μακαριουπόλεως Ἱλαρίωνος αὐτοὺς προστεθηκότων, καὶ ἐν γωνίᾳ καὶ παραβύστῳ ἐκεῖθεν ἐπὶ κοινῷ σκανδάλῳ καὶ ἀξιοκατακρίτῳ διεγέρσει τοῦ εὐσεβοῦς ἐκείνου βουλγαρικοῦ λαοῦ ἐργαζομένων, καὶ προφανὲς παράδειγμα ἀνταρσίας καὶ ἀπειθείας ἐκκλησιαστικῆς ἑαυτοὺς παρεχομένων, ταῦτα πάντα ἀληθῶς δηξικάρδια καὶ θυμαλγῆ καθ' ἑαυτὰ, οὐ μόνον τὴν ἱερὰν αὐτῆς ψυχὴν καταλυπῆσαι ἱκανὰ, ἀλλὰ καὶ ἡμᾶς αὐτοὺς καὶ σύμπασαν τὴν ὀρθόδοξον Ἐκκλησίαν. Πῶς γὰρ ἂν εἴη ἀνεκτὸν ἢ θεμιτὸν καὶ δυνατὸν τὸ διὰ τοιούτων ἀνταρτικῶν κατὰ τῆς κοινῆς Μητρὸς Ἐκκλησίας ἐνεργειῶν, (οἷαι ἡ ἀπὸ τῆς κανονικῆς ἀρχῆς παραίτησις καὶ λειποταξία τῶν ἀρχιερέων Φιλιππουπόλεως Παναρέτου, Σοφίας Δωροθέου καὶ Λοφτζοῦ Ἱλαρίωνος καὶ ἡ ἀπὸ γ' μαρτίου ͵αωο' ἐγκύκλιος αὐτῶν πρὸς τὸν βουλγαρικὸν λαὸν, ἵνα τοὺς τούτοις συνυπογράψαντας λαϊκοὺς ὡς τοιούτους παραλείψωμεν) στηριχθῆναι καὶ παγιωθῆναι Ἐκκλησίαν, καὶ ταύτην εἶναι καὶ λέγεσθαι ὀρθόδοξον, παρ' ἀρχιερέων, οἵπερ οὐδ' αὐτὸν τὸν ἱερὸν ὅρκον, ὃν δεδώκασιν ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων ἐτήρησαν; μόνῃ δὲ τῇ φιλάρχῳ τῆς ψυχῆς αὐτῶν ἐπιθυμίᾳ ἑπόμενοι παρανόμως, καὶ τρόποις ἀεικέσι τε καὶ ἀναρμοδίοις τοῖς πρὸς ἰδίαν αὐτῶν φιλοδοξίαν συντείνουσι χρώμενοι, τήν τε ἁπλότητα καὶ εὐσέβειαν τοῦ βουλγαρικοῦ λαοῦ ἐκμεταλλεύονται, καὶ τῆς ἀνακτορικῆς εὐμενείας ἀσυστόλως καταχρῶνται;

Digitized by Google

Ἡμῖν γε οὕτω δοκεῖ, ὡς οὐ κανονικὸν, οὐδέ γε θεμιτὸν καὶ δυνατόν. Ἐὰν γὰρ οὗτοι ηὐλαβοῦντο καὶ ἐσέβοντο τοὺς ἱεροὺς τῆς Ἐκκλησίας θεσμοὺς καὶ κανόνας, ἐφ' ὧν ἐρειδόμενοι ἀρχιερέας ἑαυτοὺς ἀποκαλοῦσιν, οὐκ ἂν παρέπειθον τὴν Ὑψηλὴν αὐτοκρατορικὴν ἡμῶν κυβέρνησιν, μᾶλλον δὲ ἑαυτοὺς καὶ ἀλλήλους, ἱκανὴν καὶ ἀποχρῶσαν θεωρῆσαι τὴν ἔκδοσιν ὑψηλοῦ φερμανίου παρὰ τῆς πολιτικῆς ἀρχῆς, πρὸς προφανῆ μὲν καταπάτησιν τῆς ἐκκλησιαστικῆς νομοθεσίας, ἁπλῆν δὲ καὶ μόνην ἐπιτυχίαν τῶν ἰδίων πόθων, ὀλιγωροῦντες τῶν ἱερῶν κανόνων τῶν ἐπὶ προφυλακῇ τῆς πατρῴας εὐσεβείας κειμένων, οὐδὲ γ' ἐσεμνύνοντ' ἂν ἐπὶ τοιαύταις καινοτομίαις.

Τούτων οὕτως ἐχόντων, προαγόμεθα καὶ αὖθις εἰς ἀδελφικὴν ἀπάντησιν περὶ τοῦ αὐτοῦ ἀντικειμένου, πρῶτον μὲν συλλυπούμενοι τῇ ἀδελφικῇ αὐτῆς ἱερᾷ κορυφῇ, ἐφ' οἷς ἀδίκως πάσχει δεινοπαθήμασι, καὶ παρακαλοῦντες ὅπως μετριάζουσα ὅσον ἔνεστι τὰς ἐγκαρδίους ταύτας θλίψεις αὐτῆς, ἐλπίζῃ πάντοτε εἰς τὴν ἐξ ὕψους ἀντίληψιν τοῦ Κυρίου, «ὃς οἶδεν εὐσεβεῖς ἐκ πειρασμοῦ ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν»· εἶτα δὲ ἀποφαινόμεθα καὶ ἐν τῇ παρούσῃ ἡμῶν ἀδελφικῇ ἀπαντήσει ὅτι, συμφώνως τῇ ἀπὸ λ΄ ἰανουαρίου ͵αωξθ΄ ἀπαντήσει ἡμῶν, ἐμμένομεν ἀναγνωρίζοντες καὶ ἐπιδοκιμάζοντες τὰς συνοδικὰς πράξεις τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας ἐπὶ τοῦ προκειμένου βουλγαρικοῦ ζητήματος. Οὐδὲ γὰρ βλέπομεν ἄλλην τινὰ θεραπείαν τῶν δεινῶν τούτων, μετὰ τοσαύτας μάλιστα παραχωρήσεις προνομίων παρὰ τῆς Ἐκκλησίας, ἢ τὴν συγκάλεσιν Οἰκουμενικῆς Συνόδου, ὡς μόνης ἁρμοδίας ἐξενεγκεῖν ἀπόφασιν κανονικὴν καὶ δικαίαν, ἐπὶ τῇ βάσει τῶν ἱερῶν θεσμῶν τῆς Ἐκκλησίας, καὶ ἱκανὴν θεραπεῦσαι ἀποχρώντως τὰς μεταξὺ τοῦ Οἰκουμενικοῦ Θρόνου καὶ Βουλγάρων ἀξιώσεις.

Digitized by Google

Τούτου ἕνεκεν, καὶ τὸ αὐτοκρατορικὸν φερμάνιον, τὸ ἄλλως τε σεβαστὸν ἡμῖν καὶ πάσης τιμῆς ἄξιον, ὡς βασιλικόν, τυγχάνει ἀναρμόδιον, ὡς περὶ καθαρῶς ἐκκλησιαστικῆς ὑποθέσεως διαλαμβάνον. Διότι τότε μόνον εἶχεν ἂν τὴν ἰσχὺν καὶ τὸ κῦρος νόμου, περὶ πνευματικῶν ὑποθέσεων διαλαμβάνον, ἐὰν ἐπεκύρου καὶ ἐκράτυνε πρᾶξιν ἐκκλησιαστικὴν ἐξενηνεγμένην ἁρμοδίως παρὰ τῆς ἐκκλησιαστικῆς ὁλομελείας, προβληθεῖσαν δὲ τῇ αὐτοκρατορικῇ κυβερνήσει εἰς ἐπικύρωσιν καὶ βεβαίωσιν. Διὰ δὴ ταῦτα λίαν καλῶς καὶ θεοφρόνως ἔπραξεν ἀναπτύξασα μεθ' ὅλου μὲν τοῦ σεβασμοῦ, ὡς ἁρμόζει ὑπηκόοις, ἀλλὰ μετὰ πάσης τῆς ἐκκλησιαστικῆς παρρησίας, τοὺς ἰσχυροὺς καὶ ἀμετακλήτους λόγους, ὧν ἕνεκεν ἀδυνατεῖ ἡ Ἐκκλησία ἵνα παραδεχθῇ ὡς ἁρμοδίαν καὶ σύμφωνον τῷ πνεύματι τῆς Ἐκκλησίας τὴν διὰ τοῦ ῥηθέντος ὑψηλοῦ φερμανίου λύσιν τοῦ ζητήματος μεταξὺ τοῦ πατριαρχικοῦ αὐτῆς Θρόνου καὶ τῶν Βουλγάρων· Πεποίθαμεν δὲ ὅτι ἡ ἀείποτε εὐγενὴς τοῖς πιστοῖς αὐτῆς ὑπηκόοις ὑψηλὴ ἡμῶν κυβέρνησις ἀναγνωρίσει εἰς τέλοις τοὺς ἰσχυροὺς λόγους, δι' οὓς ἡ ὑμετέρα σεβασμιωτάτη Παναγιότης ἐμμένει ἀκλόνητος ἐν τῇ ἐκκλησιαστικῇ αὐτῆς ἀποφάσει περὶ Οἰκουμενικῆς Συνόδου, ὡς μόνης ἁρμοδίας πρὸς λύσιν τοῦ ζητήματος τούτου.

Ταῦτα τοίνυν καὶ παρ' ἡμῶν εἰς ἀπάντησιν, σεβασμιώτατε ἡμῖν ἐν Χριστῷ ἀδελφέ· Ὁ δὲ Θεὸς καὶ πατὴρ τῆς εἰρήνης, ὁ τὰ πάντα εἰδώς, πανσόφως τελεσιουργῆσαι τὰ κατ' αὐτὸν σωτηριώδη τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ παντὶ τῷ λαῷ αὐτοῦ· παρ' οὗ καὶ τὰ σεβάσμια καὶ γεραρὰ ἔτη τῆς ὑμετέρας θειοτάτης Παναγιότητος εἶεν ὅτι πλεῖστα καὶ σωτηριωδέστατα. Ἐν Δαμασκῷ, τῇ κ' νοεμβρίου ,αωο'.

Τῆς ὑμετέρας θειοτάτης καὶ σεβασμιωτάτης Παναγιότητος ἐν Χριστῷ ἀγαπητὸς ἀδελφὸς καὶ ὅλως πρόθυμος

† Ὁ Ἀντιοχείας ΙΕΡΟΘΕΟΣ.

Γ' Ἐκκλησίας Ἱεροσολύμων

Παναγιώτατε καὶ σεβασμιώτατε οἰκουμενικὲ πατριάρχα Κωνσταντινουπόλεως, *ἐν* Χριστῷ *τῷ* Θεῷ *λίαν ἀγαπητὲ καὶ περισπούδαστε ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος, κύριε κύριε* Γρηγόριε. Τὴν *ὑμετέραν περισπούδαστον καὶ σεβαστὴν* Παναγιότητα *ἀδελφικῶς ἐν* Κυρίῳ *κατασπαζόμενοι, ὑπερήδιστα προσαγορεύομεν.*

Τὰ *ἀπὸ λ' σεπτεμβρίου τοῦ τρέχοντος ἔτους ἐγκύκλια γράμματα τῆς ὑμετέρας σεβασμιωτάτης* Παναγιότητος *μετὰ τῶν ἐν αὐτοῖς ἐπισυνημμένων ἐντύπων ἐγγράφων ἐκομισάμεθα· καὶ τὰ ἐν αὐτοῖς, οἷα εἰκὸς, ἐσκεμμένως καὶ μετὰ πολλοῦ τοῦ ἐνδιαφέροντος ἀνέγνωμέν τε καὶ ἐμελετήσαμεν.* Ἐπειδὴ *δ' ἐτυγχάνομεν τέως παρεπιδημοῦντες δι' ἀνάγκας τοῦ πατριαρχικοῦ* Θρόνου *ἐν τῇ ὑπὸ τὴν ἡμετέραν* δικαιοδοσίαν *πόλει* Ἰόππῃ, ἀνεβάλομεν εἰς δεῦρο τὴν ἀπάντησιν ἡμῶν, *καίπερ μὴ διαλιπόντες ἐν τῷ μεταξὺ, καὶ ἐξ ἄλλων ἀφορμῶν τὸ ἐνδόσιμον* λαμβάνοντες, *τὸν νοῦν ἡμῶν τοῖς γεγραμμένοις ἐφιστάντες-* Τὰς *οὐ καλὰς ἀφορμὰς καὶ τὰς σχετλίας ἐκβάσεις τῆς πολυκρότου βουλγαρικῆς, ἢ μᾶλλον βουλγαριστῶν τινων πρὸς τὸν κανονικὸν αὐτῶν ποιμενάρχην διαφορᾶς, καὶ διενέξεις, τὰς διοικητικὰς καὶ πατριαρχικὰς τοῦ* Οἰκουμενικοῦ Θρόνου *προνομίας ἐπηρεαζούσας, καὶ ἄντικρυς τοῖς καθεστῶσι καὶ ἐκκλησιαστικοῖς κανόσιν ἐναντιουμένας· τὰ πρὸς εἰρήνην τε μέσα καὶ τὴν στοργὴν καὶ συγκατάβασιν τῆς* Μεγάλης *τοῦ* Χριστοῦ Ἐκκλησίας *μέχρι καὶ τοῦ ἀφεῖναί τινα, ἃ νομίμως αὐτῇ προσήκει· τὸ σκληροτράχηλον καὶ ἀνένδοτον τῶν τῆς οἰκτρᾶς ταύτης διχοστασίας ὑποβολέων καὶ τὰς νέας καὶ τοῦ κανονικοῦ καὶ πρέποντος ἀπεσχοινισμένας προτάσεις, τὸ τῆς εὐαγγελικῆς ἀγάπης καὶ ἑνότητος δόγμα καὶ*

Digitized by Google

τὸ τῶν ἐκκλησιαστικῶν κανόνων κῦρος ἀνατρεπούσας τε καὶ καταπατούσας, ἐκ τῶν ἀμφὶ μεσοῦντα δεκέμβριον τοῦ ‚αωξη′ σωτηρίου ἔτους ἀποσταλέντων ἡμῖν πατριαρχικῶν ἐγκυκλίων γραμμάτων καὶ ἐπισυνημμένων ἐγγράφων ἐγνώκαμεν, ὁπότε καὶ ἀπαντῶντες, τὴν περὶ συγκροτήσεως Οἰκουμενικῆς Συνόδου προταθεῖσαν γνώμην τῆς πεπνυμένης αὐτῆς κορυφῆς ἐπεδοκιμάσαμεν, ἀποφηνάμενοι καὶ ἡμεῖς, ὅτι αὕτη, οἷα φωνὴ τῆς καθόλου Ἐκκλησίας, τῆς στύλου καὶ ἑδραιώματος τῆς ἀληθείας παρὰ τοῦ Σωτῆρος ἡμῶν τεταγμένης, ἠδύνατο ψῆφον ὁριστικὴν καὶ ἀνέκκλητον ἐξενεγκεῖν, καὶ ἅπαξ διὰ παντὸς τοῖς ἀντιξόοις βουλεύμασι φραγμὸν ἐνδελεχῆ ἐπιθεῖναι καὶ τὴν τοῦ κακοῦ διάδοσιν προλαβεῖν. Ἔκτοτε δὲ διετία ὅλη παρῆλθε, καὶ μεθ᾽ ὅλα τὰ συνετά, ἐσκεμμένα καὶ φιλόστοργα μέτρα, μεθ᾽ ὅλας τὰς γενναίας παραχωρήσεις τῆς πεπνυμένης καὶ κλεινῆς αὐτῆς κορυφῆς. μεθ᾽ ὅλας δὲ τὰς κρίσεις καὶ ἀποφάνσεις τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, οὐ μόνον οὐκ ἐλώφησε τὸ κακόν, ἀλλὰ καὶ νέα καταιγὶς ἐπελθοῦσα τὸ θεοπαγὲς καὶ παναρμόνιον τῆς ἐκκλησιαστικῆς θεσμοθεσίας καὶ εὐταξίας οἰκοδόμημα, τὸ διὰ τῶν ἀριφρονεστέρων καὶ ἀριπρεπεστέρων τοῦ χριστιανισμοῦ νόων οἰκοδομηθὲν καὶ τὴν Ἐκκλησίαν ἀπ᾽ αἰώνων ἀλύμαντον διασῶσαν, ἄρδην ἀνατρέψαι ἠπείγετο. Παραχαράκται γάρ τινες τῆς ἀληθείας, περιβολὴν μὲν καὶ προσωνυμίαν ἀρχιερέων Χριστοῦ ἔχοντες, ἔργῳ δὲ τοῦ ἀρχιερατικοῦ φρονήματός τε καὶ τρόπου πόρρω ἀφεστηκότες, καὶ δὴ καὶ κανονικῶς καθῃρημένοι καὶ αὐτόχρημα λύκοι ἀντὶ ποιμένων, εὐαρίθμοις τισὶ λαϊκοῖς, τὰ μὲν ἄλλα εὐϋπολήπτοις, περὶ δὲ τῶν ἐκκλησιαστικῶν πραγμάτων ἀποφαίνεσθαι πάντῃ ἀναρμοδίοις καὶ μηδόλως σύμπασαν τὴν φωνὴν τοῦ εὐσεβοῦς καὶ ἀκάκου λαοῦ τῶν Βουλγάρων ἐκπροσωποῦσι, προστεθέντες, τὴν εἰρήνην τῆς Ἐκκλησίας ἀσυστόλως τε καὶ ἀναιδῶς διαταράξαι ἀνεδέξαντο, καὶ τοὺς κανόνας

Digitized by Google

αὐτῆς εἰς φροῦδα ῥήματα μεταβαλεῖν ἠπείγοντο. Ὅση δ' Ἰλιὰς κακῶν τὸ τηνικαῦτα ἐν τῷ ὀρθοδόξῳ τῆς Βουλγαρίας πληρώματι ἐνέσκηψε, καὶ ὅπως ὁ λαὸς ὁ ἁπλοῦς τε καὶ ἄκακος ὑπερεθίζετό τε καὶ συνεταράττετο, οὐ μόνον προφορικαὶ πληροφορίαι, ἀλλὰ καὶ τὰ πατριαρχικὰ αὐτῆς γράμματα διετραγῴδουν· οἷα δὲ τὰ ἐκ τούτων ἐπακολουθήματα, καὶ ὁπόση ἡ ἐντεῦθεν τῶν κακῶν δείνωσις, καὶ ἡ ἐν ταῖς ἐκκλησιαστικαῖς ὑποθέσεσι προσγενομένη δυσοικονόμητος σύγχυσις, αὐτὴ δὴ ἡ ὑπὸ τῆς θεοπροβλήτου καὶ λαοποθήτου αὐτῆς Παναγιότητος αἰτηθεῖσα παραίτησις ἀπὸ τοῦ οἰκουμενικοῦ Θρόνου ἐνέφηνε, παραίτησις, ἀλγεινοτάτην θλίψιν ἁπάσαις ταῖς ἁγίαις τοῦ Θεοῦ Ἐκκλησίαις ἐμποιήσουσα καὶ τὸ πένθος αὐτῶν βαρύτερον καταστήσουσα. Ἀλλ' εὐλογητὸν εἴη τὸ ὄνομα τοῦ ἐπαγγειλαμένου, ὅτι καὶ πύλαι Ἅδου οὐ κατισχύσουσι τῆς Ἐκκλησίας αὐτοῦ. Τὰ φοβερὰ ἐκεῖνα κύματα, τὰ τὸ θεότευκτον σκάφος τῆς ἐκκλησιαστικῆς εὐταξίας καταποντίσαι ἐπαπειλοῦντα προσήρραξαν ἐμβριθεστάτῃ καὶ παραδειγματικῇ ἐν τοῖς ἐκκλησιαστικοῖς χρονικοῖς φρονήσει τε καὶ τοῖς ὑπὸ τῶν πατέρων παραδεδομένοις ἀφοσιώσει καὶ ἐμμονῇ. Ἐν ταῖς δειναῖς ἐκείναις περιστάσεσι τὸ πρόςτε τὴν σχισματικὴν σπεῖραν καὶ τὰς παραπεισθείσας ἀρχὰς εὐκρινές τε καὶ εὔτολμον, ναὶ μὴν καὶ φιλόστοργον, τῆς τε ὑμετέρας Παναγιότητος καὶ τῆς περὶ αὐτὴν ἱερᾶς Συνόδου οὕτω λαμπρῶς καὶ εὐστόχως ἐξέλαμψεν, ὥστε ἁπάσας τὰς τοῦ Θεοῦ Ἐκκλησίας ἐν τούτοις καθορᾷν μονονουχὶ τὸ πνεῦμα τῶν θεοφόρων πατέρων, τὸ τὴν ἐκκλησιαστικὴν θεσμοθεσίαν τε καὶ εὐταξίαν συμπῆξαν καὶ παγιῶσαν, ἐνεργοῦν καὶ κινούμενον, καὶ αὐτὴν τὴν ἀλήθειαν λαλοῦσαν. Καὶ πάλιν εἴη εὐλογητὸν τὸ ὄνομα τοῦ τῆς Ἐκκλησίας δομήτορος. Ἡμεῖς δὲ καὶ νῦν εἰδικώτερον τὸ φρόνημα ἡμῶν περί τε τῶν ταραξιῶν βουλγαριστῶν καὶ τῆς πρὸς αὐτοὺς διαγωγῆς τῆς Μεγάλης τοῦ

Digitized by Google

Χριστοῦ Ἐκκλησίας ἐκφέροντες, ἀποφαινόμεθα, ὅτι ἐκείνους μὲν ὡς πειρωμένους τὴν εἰρήνην τῆς Ἐκκλησίας διαταράξαι, καὶ μεθ' ὅλας τὰς συγκαταβάσεις καὶ παραχωρήσεις ἐν τῇ ἰδιογνωμοσύνῃ αὐτῶν ἐμμένοντας, καὶ τὴν ἐκκλησιαστικὴν θεσμοθεσίαν διαστρέψαι προθυμουμένους, πόρρω τῆς εὐαγγελικῆς ἀληθείας καὶ τοῦ πνεύματος τῆς ὀρθοδόξου Ἐκκλησίας ἀφεστηκότας λογιζόμεθα. Τὴν δὲ πρὸς αὐτοὺς φωνὴν τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας ἐν τῇ περιστάσει ταύτῃ, ἅτε στοιχοῦσαν τῷ ἀληθεῖ, τῷ δικαίῳ καὶ τῷ κανονικῷ, ὡς αὐτὴν τὴν φωνὴν τῶν ἐκκλησιαστικῶν κανόνων ἀναγνωρίζομεν. Οὐδεὶς τῶν εὐ φρονούντων, ἀγαπητὲ ἡμῖν ἐν Χριστῷ ἀδελφὲ καὶ περιπόθητε, οὐδεὶς τῶν εὖ φρονούντων, πολλῷ δὲ μᾶλλον οἱ ὑπὸ Θεοῦ τεταγμένοι φρουροὶ καὶ οἰκονόμοι τῆς καλῶς κανονισθείσης θεσμοθεσίας, ἀνάσχοιντ' ἄν, χάριν δημοκόπων τινῶν καὶ λαοπλάνων ἀνατραπῆναι ὅ,τι χρυσοῖ τῆς Ἐκκλησίας αἰῶνες ἐθέσπισαν, καὶ πολιὸς αὐτῆς βίος διὰ τοσούτων θυσιῶν καὶ καμάτων ἐκύρωσεν. Ἀλλὰ τούτους τοὺς μηδὲν κρεῖττον ἢ ὁσιώτερον τῆς ἰδίας ἰσχυρογνωμοσύνης καὶ τῶν ἐπιπολαίων αὐτῶν διαλογισμῶν καὶ διαβουλίων ἔχοντας, καὶ τὸν ἐκκλησιαστικὸν διάκοσμον εἰς χάος καὶ αὐτόχρημα ἀκοσμίαν μεταβαλεῖν πειρωμένους, σωφρονισθῆναι δίκαιον καὶ τῇ οἰκτρᾷ καὶ δικαίᾳ στάθμῃ τῆς ἐκκλησιαστικῆς κρίσεως ὑπαχθῆναι, ὅπως τὸ τῆς Ἐκκλησίας σῶμα διασωθῇ.

Ἀλλ' ὁ ποιήσας τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ διαλύσας, δώῃ καὶ αὖθις τὴν εἰρήνην τῇ Ἐκκλησίᾳ αὐτοῦ, τὴν δ' ὑμετέραν Παναγιότητα σὺν τῇ περὶ αὐτὴν ἱερᾷ Συνόδῳ περιφρουρείη καὶ διαφυλάττοι καθυπερτέραν παντὸς ἀνιαροῦ μέχρι γήρως βαθυτάτου· γένοιτο!

Ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλὴμ, ,αωο' δεκεμβρίου ιθ',

τῆς ὑμετέρας σεβασμιωτάτης Παναγιότητος

ἀγαπητὸς ἐν Χριστῷ ἀδελφὸς καὶ ὅλως πρόθυμος

† Ὁ Ἱεροσολύμων ΚΥΡΙΛΛΟΣ.

Digitized by Google

Δ' Ἐκκλησίας Κύπρου

Παναγιώτατε, θειότατε καὶ σεβασμιώτατε οἰκουμενικὲ πατριάρχα κύριε κύριε Γρηγόριε. Τὴν πανσέβαστον ἡμῖν αὐτῆς Παναγιότητα σὺν τῇ περὶ αὐτὴν ἱερᾷ Συνόδῳ ἀδελφικῶς ἐν Χριστῷ κατασπαζόμενοι ἥδιστα προσαγορεύομεν.

Τὴν ἀπὸ λ' τοῦ παρελθόντος σεπτεμβρίου γεγραμμένην σεβαστὴν ἡμῖν ἀδελφικὴν ἐγκύκλιον τῆς ὑμετέρας σεβασμιωτάτης Παναγιότητος καὶ τῆς περὶ αὐτὴν ἱερᾶς Συνόδου μετὰ τῶν ἐπισυνημμένων αὐτῇ ἐντύπων ἐπισήμων ἐγγράφων, αναγομένων πάντων εἰς τὸ βουλγαρικὸν λεγόμενον ζήτημα, κομισάμενοι τῇ κη' τοῦ ἤδη λήξαντος ὀκτωβρίου, ἀνέγνωμεν αὐτὰ καὶ οὐ μετρίως ἐλυπήθημεν κατιδόντες ἐν αὐτοῖς ἔνθεν μὲν τὴν εἰς δεῦρο παράτασιν τοῦ εἰρημένου ζητήματος, ὅπερ ἐπὶ δεκαετίαν καὶ ἐπέκεινα διατελεῖ, ὡς μὴ ὤφελε, τὴν Μεγάλην τοῦ Χριστοῦ Ἐκκλησίαν τοσοῦτον σφοδρῶς συνταράττον, ἔνθεν δὲ τὴν μεθ' ὅλας τὰς εὐλόγους τῆς Ἐκκλησίας παραστάσεις ἀπόφασιν τῆς σεβαστῆς κυβερνήσεως τοῦ δοῦναι πέρας αὐτῷ παρὰ τὴν γνώμην δηλονότι τῆς Ἐκκλησίας, ἐφ' ᾧ καὶ ὑψηλὸν ἐξέδοτο φιρμάνιον.

Ἐπειδὴ δὲ ἡ σεβασμιωτάτη ἡμῖν αὐτῆς κορυφὴ συνοδικῶς ἐξαιτεῖται τῆς καθόλου Ἐκκλησίας τὴν ψῆφον ἐπὶ τῶν τέως πεπραγμένων αὐτῇ, εἴπερ δηλονότι τῷ πνεύματι τοῦ ἱεροῦ Εὐαγγελίου καὶ τῶν σεπτῶν Οἰκουμενικῶν Συνόδων ταῦτα συνάδουσιν, οὐ λείψομεν καὶ ἡμεῖς συνοδικῶς τὴν ὑμετέραν ἀδελφικὴν ἀξίωσιν, τό γε ἐφ' ἡμῖν, ἐκπληρῶσαι καὶ τὴν ἡμετέραν ταπεινὴν ἀποφήνασθαι γνώμην. Ἀλλ' ὅτι πρὸς τοῦτο δεῖ καὶ μελέτης ἱκανῆς καὶ ἐπιστασίας συντόνου καὶ ἀφ' ἑαυτοῦ δῆλον γίγνεται καὶ ἡ σεβασμιωτάτη ἡμῖν αὐτῆς κορυφὴ

Digitized by Google

Ἐὰν δὲ καὶ εἰς αὐτοὺς τοὺς ἱεροὺς ἀποβλέψωμεν κανόνας, ἐφ' ὧν τὸ τῆς Ἐκκλησίας πολίτευμα ἐφεδράζεται, οὐδαμοῦ ἐν αὐτοῖς εὑρίσκομεν ἴχνος φυλετισμοῦ. Οἱ περὶ ἐκλογῆς καὶ προχειρίσεως ἐπισκόπων, μητροπολιτῶν, πατριαρχῶν καὶ τῶν λοιπῶν λειτουργῶν τῆς Ἐκκλησίας κανόνες οὐδαμοῦ ὁρίζουσιν ὡς προσὸν τῶν ἐκλεξίμων τὸ φυλετικὸν γνώρισμα κατὰ τὴν τῶν φυλετιστῶν ἀξίωσιν, ἀλλὰ μόνα τὰ ἠθικὰ καὶ θρησκευτικὰ προσόντα, ὁποῖα προδιετύπωσεν ὁ τῶν ἐθνῶν ἀπόστολος ἐν ταῖς πρὸς Τιμόθεον καὶ Τίτον ἐπιστολαῖς. Ὡσαύτως καὶ οἱ τῶν κατὰ τόπους Ἐκκλησιῶν ἱεροὶ κανόνες, οἱ εἰς τὰς συστάσεις, ἑνώσεις ἢ διαιρέσεις τῶν ἐκκλησιαστικῶν παροικιῶν ἀποβλέποντες, πολιτικοὺς λόγους ἢ ἐκκλησιαστικὰς ἀνάγκας προβάλλονται, οὐδέποτε δὲ φυλετικὰς ἀξιώσεις,

Digitized by Google

Αὐτὸν δὲ τὸν λδ' κανόνα τῶν ἁγίων ἀποστόλων, ὃν καὶ μόνον ἐπικαλοῦνται ὑπὲρ ἑαυτῶν οἱ ὀπαδοὶ τοῦ φυλετισμοῦ, τὸν λέγοντα «Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον, καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλὴν», ἐξηγεῖ μὲν κάλλιστα τὸ ἐν ἁπάσῃ τῇ καθόλου Ἐκκλησίᾳ ξένον ὅλως καὶ ἀλλότριον τοῦ φυλετισμοῦ καθεστὼς ἱερὸν πολίτευμα, βεβαιοῖ δὲ τὸν ἀληθῆ αὐτοῦ νοῦν ὁ θ' τῆς ἐν Ἀντιοχείᾳ, τὰ αὐτὰ δι' ἄλλων διαγορεύων λέξεων καὶ εἰς αὐτὸν προφανῶς ἀναφερόμενος· «Τοὺς καθ' ἑκάστην ἐπαρχίαν ἐπι-
» σκόπους εἰδέναι χρὴ τὸν ἐν τῇ μητροπόλει προεστῶσα
» ἐπίσκοπον, καὶ τὴν φροντίδα ἀναδέχεσθαι πάσης τῆς ἐπαρ-
» χίας διὰ τὸ ἐν τῇ μητροπόλει πανταχόθεν συντρέχειν πάν-
» τας τοὺς τὰ πράγματα ἔχοντας· ὅθεν ἔδοξε καὶ τῇ τιμῇ
» προηγεῖσθαι αὐτὸν, μηδέν τε πράττειν περιττὸν τοὺς λοι-
» ποὺς ἐπισκόπους ἄνευ αὐτοῦ, κατὰ τὸν ἀρχαῖον κρατήσαν-
» τα τῶν πατέρων ἡμῶν κανόνα». Ἄλλως τε δὲ καὶ αὐτὸς ἑαυτὸν ἐπεξηγεῖ ὁ προμνημονευθεὶς τῶν ἀποστόλων κανὼν, τὴν ἔννοιαν τῆς λέξεως ἔθνους διὰ τῶν ἐφεξῆς διασαφῶν « . . . Ἐκεῖνα δὲ πράττειν ἕκαστον (ἐπίσκοπον), ὅσα τῇ αὐ-
» τοῦ παροικίᾳ προσήκει καὶ ταῖς ὑπ' αὐτὸν χώραις», ὥστε καὶ ἐνταῦθα πρόδηλον ὅτι περὶ τοπικῶν καὶ οὐχὶ περὶ ἐθνικῶν Ἐκκλησιῶν ὁ λόγος. Αὐτὸ δὲ τοῦτο ἐπιβεβαιοῖ καὶ ἕτερος ἀποστολικὸς κανὼν, ὁ λε', ὁρίζων «Ἐπίσκοπον μὴ τολμᾶν ἔξω τῶν ἑαυτοῦ ὅρων χειροτονίας ποιεῖσθαι εἰς τὰς μὴ ὑποκειμένας αὐτῷ πόλεις καὶ χώρας». Ἐκ πάντων τοίνυν τῶν προειρημένων κατάδηλον γίνεται ὅτι ὁ φυλετισμὸς ἄγνωστός ἐστιν ἐν τῷ πολιτεύματι καὶ τῇ ἱερᾷ τῆς Ἐκκλησίας θεσμοθεσίᾳ.

Β') Ἀλλ' ἡ ἀρχὴ τοῦ φυλετισμοῦ ἀνατρέπει καὶ τὸ ἱερὸν τῆς ὀρθοδόξου Ἐκκλησίας πολίτευμα. Τὸ πολίτευμα τῆς ὀρθοδόξου Ἐκκλησίας, ἤτοι ὁ διοικητικὸς αὐτῆς ὀργανισμὸς,

ὡς ὁρατῆς κοινωνίας, καταφαίνεται ἐν τῷ συνόλῳ τῆς ἱερᾶς αὐτῆς θεσμοθεσίας, ἣν συγκροτοῦσιν οἱ θεῖοι καὶ ἱεροὶ κανόνες τῶν ἁγίων ἀποστόλων καὶ τῶν ἁγίων Συνόδων, οἰκουμενικῶν τε καὶ τοπικῶν. Πᾶσα πρᾶξις ἀναφερομένη εἰς τὴν Ἐκκλησίαν, τείνουσα εἰς ἀθέτησιν τῶν κανόνων τούτων καθόλου ἢ ἐν μέρει, προσβάλλει οὐσιωδῶς αὐτὸ τὸ τῆς Ἐκκλησίας πολίτευμα. Ὁ φυλετισμός, ἐπιχειρῶν ἀθετῆσαι ῥητοὺς κανόνας, ἀνατρέπει τὸ πολίτευμα τῆς ὀρθοδόξου Ἐκκλησίας. Ὁ η΄ φέρ' εἰπεῖν κανὼν τῆς Α΄ οἰκουμενικῆς Συνόδου θεσπίζει «Ἵνα μὴ ἐν τῇ πόλει δύο ἐπίσκοποι ὦσι»· κατὰ δὲ τὴν ἀρχὴν τοῦ φυλετισμοῦ δύνανται ἐν μιᾷ καὶ τῇ αὐτῇ πόλει ἑδρεύειν δύο, τρεῖς ἢ πλείους ὁμόδοξοι ἐπίσκοποι, ὅσαι δηλονότι καὶ φυλαὶ ἐν αὐτῇ οἰκοῦσιν. Ὁ ιβ΄ κανὼν τῆς Δ΄ οἰκουμενικῆς Συνόδου ὁρίζει «Δύο μητροπολίτας μὴ εἶναι ἐν τῇ αὐτῇ ἐπαρχίᾳ»· κατὰ δὲ τοὺς φυλετιστὰς καθιδρύονται ἐν τῇ αὐτῇ ἐπαρχίᾳ καὶ δύο καὶ πλείους μητροπολῖται κατὰ τὸν ἀριθμὸν τῶν ἐν αὐτῇ φυλῶν. Καὶ ὁ μὲν κανὼν ἀπαγορεύει τέως τὴν διαίρεσιν τῆς μιᾶς ἐπαρχίας εἰς δύο μητροπόλεις, ἤγουν τὴν τοπικὴν αὐτῆς διαίρεσιν, ὡς καὶ αὐτὴν ἀνατρέπουσαν τὸ κανονικὸν οἰκοδόμημα· οἱ δὲ φυλετισταὶ προάγουσιν ἀσυγκρίτως πορρωτέρω τὴν σύγχυσιν, παραδεχόμενοι οὐχὶ ἁπλῶς τοπικὸν τῆς ἐπαρχίας διχασμόν, ἀλλὰ πολυμέριστον κατὰ ἄτομα κατατομὴν πρὸς τὰς οἰκείας φυλάς, καὶ συνύπαρξιν ἑπομένως πολλῶν μητροπολιτῶν ἐντὸς τῶν αὐτῶν ὁρίων καὶ ἐν τοῖς αὐτοῖς ἴσως τίτλοις ἐξασκούντων ἐκκλησιαστικὴν δικαιοδοσίαν ἐπὶ εἰδικῶν φυλῶν. Καταφανεστέρα καθίσταται ἡ τοῦ ἐκκλησιαστικοῦ πολιτεύματος ἀνατροπὴ ἐν ταῖς Ἐκκλησίαις τῶν διοικήσεων. Ὁ β΄ κανὼν τῆς Β΄ οἰκουμενικῆς Συνόδου λέγει «Τοὺς ὑπὲρ διοίκησιν ἐπισκόπους ταῖς ὑπερορίοις Ἐκκλησίαις μὴ ἐπιέναι, μηδὲ συγχέειν τὰς Ἐκκλησίας· ἀλλὰ κατὰ τοὺς κανόνας τὸν μὲν Ἀλεξανδρείας

Digitized by Google

ἐπίσκοπον τὰ ἐν Αἰγύπτῳ μόνον οἰκονομεῖν, τοὺς δὲ τῆς Ἀνατολῆς ἐπισκόπους τὴν ἀνατολικὴν μόνον διοικεῖν... καὶ τοὺς τῆς ἀσιανῆς διοικήσεως ἐπισκόπους τὰ κατὰ τὴν ἀσιανὴν μόνον διοικεῖν, καὶ τοὺς τῆς ποντικῆς τὰ τῆς ποντικῆς μόνον, καὶ τοὺς τῆς θρᾳκικῆς τὰ τῆς θρᾳκικῆς μόνον οἰκονομεῖν... φυλαττομένου δὲ τοῦ προγεγραμμένου περὶ τῶν διοικήσεων κανόνος, εὔδηλον ὡς τὰ καθ' ἑκάστην ἐπαρχίαν ἡ τῆς ἐπαρχίας Σύνοδος διοικήσει κατὰ τὰ ἐν Νικαίᾳ ὡρισμένα». Κατὰ τὸν κανόνα τοῦτον καὶ τοὺς παραλλήλους αὐτῷ (τὸν η' τῆς Γ' οἰκουμενικῆς Συνόδου, τὸν ς' τῆς Α', τὸν κη' τῆς Δ') ὅπως ἐκ τῶν ἐπισκοπικῶν Ἐκκλησιῶν ἀπαρτίζονται αἱ μητροπολιτικαὶ, οὕτως ἐκ τῶν μητροπολιτικῶν αἱ τῶν διοικήσεων Ἐκκλησίαι, συνιστάμεναι ἐκ πασῶν τῶν ἐν τῇ διοικήσει ἐπαρχιῶν. Αἱ δὲ τῶν διοικήσεων αὐτῶν Σύνοδοι μετὰ τοῦ ἐν αὐταῖς πρώτου, προέδρου, ἀρχιεπισκόπου, ἐξάρχου ἢ πατριάρχου, ἀποτελοῦσιν ἐν τῇ τῆς ὅλης διοικήσεως περιφερείᾳ τὴν ἀνωτάτην ἐκκλησιαστικὴν ἀρχήν. Καὶ κατὰ τὸν θεσμὸν τοῦτον διαμένουσιν ἄχρι τῆς σήμερον ἔν γε τῷ καθ' ἡμᾶς κλίματι τὰ ἡμέτερα ὀρθόδοξα Πατριαρχεῖα, καὶ ἐν ἄλλαις ἐπικρατείαις αἱ διοικητικαὶ Σύνοδοι μετὰ τῶν προέδρων αὐτῶν. Ἀλλὰ κατὰ τὰ ἀξιώματα τῶν φυλετιστῶν οὐδένα εὑρίσκει ἴδιον χῶρον ἡ τῆς τοπικῆς διοικήσεως Ἐκκλησία, αἱ δὲ τῶν κατὰ φυλὰς ἀνωτάτων ἐκκλησιαστικῶν ἀρχῶν δικαιοδοσίαι ἐφαπλοῦνται ἢ περιστέλλονται κατὰ τὴν ἀέναον παλίρροιαν τῶν ἐθνῶν, κατὰ ὁμάδας ἢ ἄτομα ἄλλοτε ἄλλοσε κινουμένων καὶ μεταναστευόντων· διὰ δὲ τὴν ἐν ταῖς αὐταῖς διοικητικαῖς περιφερείαις ἀνάμιξιν παντοίων φυλῶν, ἀνάγκη ἵνα ἐπικάθηνται, οὕτως εἰπεῖν, ἀλλήλαις, ἢ συμπλέκωνται καὶ συγχέωνται αἱ τῶν διαφόρων φυλετικῶν ἐκκλησιαστικῶν ἀρχῶν δικαιοδοσίαι, πᾶσαι ἀξιοῦσαι τὴν κανονικὴν τοῦ τόπου ἐκκλησιαστικὴν διοίκησιν. Καὶ οὕτως ἐν μιᾷ καὶ τῇ αὐτῇ ἐκ-

Digitized by Google

κλησιαστικῇ διοικήσει ἔσονται πολλοὶ μὲν ὁμόδοξοι ἔξαρχοι ἢ πατριάρχαι, πολλαὶ δὲ ὁμόδοξοι διοικοῦσαι Σύνοδοι ἐναντίον τοσούτων ῥητῶν κανόνων. Καθόλου δὲ εἰπεῖν, κατὰ τὴν ἀρχὴν τοῦ φυλετισμοῦ οὔτε Ἐκκλησία διοικήσεως ἢ πατριαρχική, οὔτε Ἐκκλησία ἐπαρχιακὴ ἢ μητροπολιτική, οὔτε ἐπισκοπική, ἀλλ' οὐδὲ ἁπλῆ ἐνοριακὴ ἐφημερία, εἴτουν ἐκκλησία κώμης τυχὸν χωρίου ἢ συνοικίας, δύναται ὑφίστασθαι, ἴδιον ἔχουσα τόπον ἢ χώραν καὶ πάντας τοὺς ἐν αὐτῇ ὁμοδόξους περιλαμβάνουσα. Τὸ δὲ κακὸν τῆς ἐκκλησιαστικῆς κατατομῆς, συγχύσεως καὶ διαλύσεως χωρήσει μέχρι καὶ αὐτῶν τῶν κατ' οἶκον ἐκκλησιῶν. Καὶ μερισθήσεται λοιπὸν ὁ Χριστὸς, ὥς ποτε παρὰ Κυρινθίοις τοῖς λέγουσιν «ἐγὼ μὲν εἰμὶ Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ» (Α΄ Κορ. α΄ 12). Καὶ τί ἄλλο ἔσται λοιπὸν, ἢ αὐτὴ ἡ ζοφώδης νὺξ, περὶ ἧς προεῖπεν ἐν τοῖς εὐαγγελίοις ὁ Κύριος· «Λέγε ὑμῖν, Ταύτῃ τῇ νυκτὶ ἔσονται δύο ἐπὶ κλίνης μιᾶς· ὁ εἷς παραληφθήσεται, καὶ ὁ ἕτερος ἀφεθήσεται. Δύο ἔσονται ἀλήθουσαι ἐπὶ τὸ αὐτό· ἡ μία παραληφθήσεται, καὶ ἡ ἑτέρα ἀφεθήσεται. Δύο ἔσονται ἐν τῷ ἀγρῷ· ὁ εἷς παραληφθήσεται καὶ ὁ ἕτερος ἀφεθήσεται» (Λουκ. ιζ΄, 34).

Ὁ ιδ΄ τῶν ἀποστόλων κανὼν ὁ θεσπίζων «Ἐπίσκοπον μὴ ἐξεῖναι καταλείψαντα τὴν ἑαυτοῦ παροικίαν ἑτέρᾳ ἐπιπηδᾶν κἂν ὑπὸ πλειόνων ἀναγκάζηται, εἰ μή τις εὔλογος αἰτία ᾖ ἡ τοῦτο βιαζομένη αὐτὸν ποιεῖν, ὡς πλέον τι κέρδος δυναμένου αὐτοῦ τοῖς ἐκεῖσε λόγῳ εὐσεβείας συμβαλέσθαι. Καὶ τοῦτο δὲ οὐκ ἀφ' ἑαυτοῦ, ἀλλὰ κρίσει πολλῶν ἐπισκόπων καὶ παρακλήσει μεγίστῃ»·—ὁ ιε΄, ὁ κελεύων «Εἴ τις πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τῶν κληρικῶν ἀπολείψας τὴν ἑαυτοῦ παροικίαν εἰς ἑτέραν ἀπέλθῃ, καὶ παντελῶς μεταστὰς διατρίβῃ ἐν ἄλλῃ παρὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου, τοῦτον κελεύομεν μηκέτι λειτουργεῖν, εἰ μάλιστα προσκα-

Digitized by Google

λουμένου αὐτὸν τοῦ ἐπισκόπου αὐτοῦ ἐπανελθεῖν, οὐχ ὑπήκουσεν, ἐπιμένων τῇ ἀταξίᾳ, ὡς λαϊκὸς μέντοι ἐκεῖσε κοινωνείτω».—ὁ ιε΄ κανὼν τῆς Α΄ οἰκουμενικῆς Συνόδου ὁ ὁρίζων «Ἀπὸ πόλεως εἰς πόλιν μὴ μεταβαίνειν μήτε ἐπίσκοπον, μήτε πρεσβύτερον, μήτε διάκονον. Εἰ δέ τις μετὰ τὸν τῆς ἁγίας καὶ μεγάλης Συνόδου ὅρον τοιούτῳ τινὶ ἐπιχειρήσειεν, ἢ ἐπιδυίη ἑαυτὸν πράγματι τοιούτῳ, ἀκυρωθήσεται ἐξάπαντος τὸ κατασκεύασμα»·—ὁ ε΄ τῆς Δ΄ οἰκουμενικῆς Συνόδου ὁ διαγορεύων «Περὶ τῶν μεταβαινόντων ἀπὸ πόλεως εἰς πόλιν ἐπισκόπων, ἢ κληρικῶν, ἔδοξε τοὺς περὶ τούτων τεθέντας κανόνας παρὰ τῶν ἁγίων πατέρων ἔχειν τὴν ἰσχύν»·

ὁ λδ΄ ἀποστολικὸς κανὼν ὁ διαγορεύων «Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλὴν, καὶ μηδέν τι πράττειν περιττὸν ἄνευ τῆς ἐκείνου γνώμης· μόνα δὲ πράττειν ἕκαστον ὅσα τῇ αὐτοῦ παροικίᾳ ἐπιβάλλει καὶ ταῖς ὑπ' αὐτὴν χώραις»·

ὁ λε΄ ὁ θεσπίζων «Ἐπίσκοπον μὴ τολμᾶν ἔξω τῶν ἑαυτοῦ ὅρων χειροτονίας ποιεῖσθαι εἰς τὰς μὴ ὑποκειμένας αὐτῷ πόλεις καὶ χώρας· εἰ δὲ ἐλεγχθείη τοῦτο πεποιηκὼς παρὰ τὴν τῶν κατεχόντων τὰς πόλεις ἐκείνας ἢ τὰς χώρας γνώμην, καθαιρείσθω καὶ αὐτὸς καὶ οὓς ἐχειροτόνησεν»·

Ἅπαντες οὗτοι οἱ θεῖοι καὶ ἱεροὶ κανόνες καὶ πλεῖστοι ἄλλοι τούτων παράλληλοι, ἐφ' ὧν τὸ ἀνέκαθεν ἐφεστὼς τῆς Ἐκκλησίας πολίτευμα ἐπερείδεται, δι' ὧν τὸ ἀνέκαθεν διοικητικὸν αὐτῆς σύστημα κρατύνεται, καὶ τὰ τῶν Ἐκκλησιῶν δίκαια ἀσφαλίζονται, καὶ τὰ σκάνδαλα αἴρονται, καὶ ὁ τῆς Ἐκκλησίας προορισμὸς ὁ εἰς τὴν τῶν ἀνθρώπων σωτηρίαν ἀποβλέπων οἰκονομεῖται καὶ διαπράττεται ἐν τῇ νυκτὶ τοῦ πλάνου τούτου βίου, ἅπασα, λέγομεν, ἡ γεραρὰ αὕτη τῆς Ἐκκλησίας θεσμοθεσία, τῆς τοῦ φυλετισμοῦ ἀρχῆς ὑποτεθείσης, ἄρδην ἀνατρέπεται καὶ εἰς ἀργίαν περιπίπτει, συν-

Digitized by Google

ἀνατρέπουσα, ὡς εἰκὸς, τὸ τοῦ ὀρθοδόξου ἐκκλησιαστικοῦ πολιτεύματος οἰκοδόμημα.

Ἀλλ' ἐροῦσιν ἴσως οἱ φυλετισταὶ, ὅτι καὶ κατὰ τὴν ἀρχὴν ἔτι τοῦ φυλετισμοῦ δύνανται ὑφίστασθαι καὶ Ἐκκλησίαι διοικήσεων ἐν χωρογραφικοῖς ὁρίοις, καὶ Ἐκκλησίαι μητροπολιτικαὶ, ἐπαρχιακαὶ, ἐπισκοπικαὶ καὶ ἐνοριακαὶ ἐντὸς χώρου ὡρισμένου περιλαμβανόμεναι κατὰ τὰς ἀπαιτήσεις τῶν ἀνωτέρω κανόνων· ὅτι οἱ κατὰ τῶν ὑπερβίσεων κανόνες οὐδόλως ἀθετηθήσονται, διότι οὐδενὶ τῶν ἐπισκόπων ἐξέσται μεταπηδᾷν εἰς ξένην ἐπαρχίαν· καὶ ὅτι τὸ μόνον ἐν τούτοις καινοφανὲς ἔσται ὅτι ἐν τοῖς κανονικοῖς ὁρίοις μιᾶς καὶ τῆς αὐτῆς πατριαρχικῆς, μητροπολιτικῆς, ἐπισκοπικῆς καὶ ἐνοριακῆς Ἐκκλησίας ἔσονται τοσοῦτοι πατριάρχαι, μητροπολῖται, ἐπίσκοποι, ἐφημέριοι, ὅσαι καὶ φυλαὶ, ἔχοντες ἕκαστος ὑπὸ τὴν ποιμαντορικὴν αὐτοῦ δικαιοδοσίαν τὰ ἐνοικοῦντα ὁμόφυλα καὶ ὁμόγλωσσα ποίμνια. Τοῦ φυλετικοῦ τούτου συστήματος καθιερουμένου ἐν τῇ Ἐκκλησίᾳ, ἀνάγκη ἔσται μόνον συμβάσεών τινων καὶ νέων ἐκκλησιαστικῶν κανόνων ὁριζόντων τὰς πρὸς ἀλλήλας σχέσεις τῶν φυλετικῶν αὐτῶν Ἐκκλησιῶν, ποιμαινόντων τε καὶ ποιμαινομένων. Εἰς ταῦτα ἀποκρινόμεθα ὅτι τοιαύτη τις καινοφανὴς ἀναμόρφωσις καὶ ἀναδιοργάνωσις τοῦ ἐπικρατοῦντος ἐκκλησιαστικοῦ διοικητικοῦ συστήματος, ὡς ἀθετοῦσα ἢ τροποποιοῦσα πληθὺν ῥητῶν κανόνων τῆς καθολικῆς ὀρθοδόξου Ἐκκλησίας καὶ νέους ἀπαιτοῦσα, οὔτε μιᾶς τινος τοπικῆς Ἐκκλησίας ἢ τοπικῆς Συνόδου ἔργον ἐστὶν, ἀλλ' οὔτε οἰκουμενική τις Σύνοδος εὑρήσει καλὸν, ὡς πεποίθαμεν, καὶ συμφέρον καθόλου τῷ χριστιανισμῷ τὴν παραδοχὴν τοιαύτης ἐκκλησιαστικῆς μεταπολιτεύσεως, δουλεύουσα ταῖς ἐφημέροις ἰδιοτροπίαις τῶν ἀνθρωπίνων παθῶν καὶ χαμαιζήλων συμφερόντων· διότι, πλὴν τῆς βεβαίας ἀνατροπῆς τῶν τεθεσπισμένων ὑπὸ το-

Digitized by Google

σούτων πρεσβυγενῶν ἁγίων οἰκουμενικῶν Συνόδων, τοσαῦτα ἕτερα συνεπάγεται ὀλέθρια ἀποτελέσματα καὶ προφανῆ καὶ λανθάνοντα.

Ἐν πρώτοις εἰσάγεται ἰουδαϊκή τις ἀποκλειστικότης, καθ' ἣν ἡ ἔννοια τῆς φυλῆς θεωρεῖται ὡς ἓν τῶν ὧν οὐκ ἄνευ προσόντων τοῦ χριστιανοῦ, πρὸ πάντων ἐν τῷ ἱεραρχικῷ διακόσμῳ. Οὕτως ἀπὸ τῆς ὀνομασθησομένης ἑλληνικῆς, φέρ' εἰπεῖν Ἐκκλησίας καὶ ἱεραρχίας, νομίμως ἀποκλεισθήσεται πᾶς μὴ ἕλλην, ἀπὸ τῆς βουλγαρικῆς πᾶς μὴ βούλγαρος, ἀπὸ τῆς ρωσσικῆς πᾶς μὴ ρῶσσος, καὶ οὕτω καθεξῆς, κἂν ἔτι τὰ πνευματικὰ καὶ ποιμαντορικὰ τοῦ τοιούτου πλεονεκτήματα καθίστων αὐτὸν ἐν τῇ ἑτεροφύλῳ Ἐκκλησίᾳ ἀναγκαῖον καὶ ἐπιζήτητον· ἐὰν δέ ποτε τοῦτο συμβῇ, λογισθήσεται οὗτος πάντως ξένος καὶ ὕποπτος. Ὁ ἀπόστολος Παῦλος, λόγου χάριν, ὃς ἦν ἀπόστολος τῶν ἐθνῶν, οὐ δυνήσεται εἶναι ποιμὴν, ἀλλ' ἢ ἐν ἑνὶ μόνῳ ἔθνει, καθ' ὃ ἰουδαῖος, τῷ ἰουδαϊκῷ, παρὰ δὲ τοῖς ἰλλυριοῖς ἔσται ἀπαράδεκτος ἢ γοῦν ὕποπτος διὰ τὸ ἑτερόφυλον· ὡσαύτως τοὺς μακαρίους Κύριλλον καὶ Μεθόδιον, ὡς ἕλληνας τὴν καταγωγὴν, οὐκ ἂν ἐδέξαντο οἱ σλαῦοι ὡς ποιμένας, οὓς ὡς ἀποστόλους ἐδέξαντο· οὐδ' ἂν οἱ μὴ σέρβοι παρεδέξαντο ὡς πατριάρχην τὸν σέρβον Ραφαὴλ, οὐδ' ἂν οἱ μὴ βούλγαροι τοὺς τρεῖς τελευταίους βουλγάρους, Εὐγένιον, Χρύσανθον καὶ Ἀγαθάγγελον· οὐδ' ἂν οἱ ρῶσσοι ὡς ἀρχιεπισκόπους τοὺς ἕλληνας, Εὐγένιον τὸν Βούλγαριν καὶ Νικηφόρον τὸν Θεοτόκην. Ἐκ δὲ τούτου ὁπόση καὶ ὁποία προκύψει εἰς τὴν Ἐκκλησίαν ζημία! Εἶτα ὁ φυλετικὸς ἐγωϊσμὸς, ὁ ἐν ἑκάστῃ τῶν φυλετικῶν Ἐκκλησιῶν ἀναπτυχθησόμενος, τοσούτῳ καταπνίξει τὰ θρησκευτικὰ αἰσθήματα, ὥστε δυσκόλως ἐπιτρέψει τινὶ αὐτῶν μεριμνᾷν καὶ συμπράττειν ὑπὲρ τῆς ἑτέρας κατὰ καθῆκον χριστιανικὸν, ἀλλὰ τὸ πολὺ ἐκ φυλετικῶν συμφερόντων. Καὶ παρὰ τῷ λαῷ δὲ τὰ φυλετικὰ αἰ-

Digitized by Google

σθήματα καὶ τὰ κοσμικὰ συμφέροντα ὀλεθρίως ἐπιδρῶντα εἰς τὰς καρδίας, παρακωλύουσι τὴν πρὸς τοὺς ἑτεροφύλους θρησκευτικὴν κοινωνίαν ἐν τοῖς μυστηρίοις καὶ ἐν ταῖς λοιπαῖς ἱεραῖς τελεταῖς, τοῦθ' ὅπερ μετὰ λύπης ὁρῶμεν ἀπὸ τοῦδε συμβαῖνον παρὰ τοῖς φυλετισταῖς ἔν τε τῇ βασιλευούσῃ καὶ ἐν ταῖς ἐπαρχίαις. Τελευταῖον ἀπίθανον ἀποβήσεται τὸ ἐν πνεύματι ἀγάπης καὶ εἰλικρινείας ἐπικοινωνεῖν ἀλλήλαις τὰς διαφόρους φυλετικὰς Ἐκκλησίας, συνέρχεσθαι διὰ τῶν ποιμένων αὐτῶν εἰς ἱερὰς τοπικὰς ἢ οἰκουμενικὰς Συνόδους, συσκέπτεσθαι περὶ εὐσεβείας καὶ εὐταξίας τῶν πιστῶν, μεριμνᾷν ὑπὲρ τῶν κοινῇ συμφερόντων καὶ ὑπεραγωνίζεσθαι ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, τῆς ὀρθοδόξου πίστεως καὶ τῆς πολυειδῶς καὶ πολυτρόπως ἑκάστοτε ἐπιβουλευομένης καὶ διωκομένης ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας. Καθόλου δὲ οὕτως ἐξανθρωπίζονται τὰ θειότατα καὶ ἱερώτατα, τὸ κοσμικὸν συμφέρον τίθεται ὑπεράνω τοῦ πνευματικοῦ καὶ θρησκευτικοῦ, ἑκάστης τῶν φυλετικῶν Ἐκκλησιῶν ἐπιζητούσης τὸ ἑαυτῆς, τὸ δὲ δόγμα τῆς «Εἰς μίαν ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν» πίστεως λαμβάνει καίριον τραῦμα. Εἰ δὲ ταῦτα οὕτως ἔχουσιν, ὡς δὴ καὶ ἔχουσιν, ὁ φυλετισμὸς εὑρίσκεται εἰς φανερὰν ἀντίφασιν καὶ διαμάχην πρὸς αὐτὸ τὸ πνεῦμα καὶ τὴν διδασκαλίαν τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ. Καὶ ὡς τοιοῦτον ἡ τοῦ Χριστοῦ Ἐκκλησία οὐδέποτε τοῦτον ἀποδέξεται καὶ θεσμοθετήσει.

Γ'.

Τοιούτου ἀποδειχθέντος τοῦ φυλετισμοῦ, ἀγνώστου μὲν ἐν τῇ χριστιανικῇ Ἐκκλησίᾳ, ἀνατρεπτικοῦ δὲ τοῦ ἱεροῦ αὐτῆς πολιτεύματος, ἑπόμενον ἦν ἵνα καὶ ἡ ἐφαρμογὴ αὐτοῦ συγκροτῆται ἐκ σειρᾶς παρανομιῶν καὶ ἀντικανονικῶν πράξεων, οἷαι, φέρ' εἰπεῖν, αἱ ἑπόμεναι:

Digitized by Google

Α') Ὁ Μακαριουπόλεως Ἱλαρίων, ἀρχιερατικῶς προϊστάμενος τῆς ἐν Βαλατᾷ ἐκκλησίας τοῦ ἁγίου Στεφάνου, ἔπαυσε τῇ ἡμέρᾳ τοῦ Πάσχα τοῦ ᾳωξ' τὸ μνημόσυνον τοῦ οἰκείου πατριάρχου, καταφρονῶν τῶν κανόνων: τοῦ ιδ' τῆς ΑΒ' λέγοντος· «Εἴ τις ἐπίσκοπος, ἐγκλήματος πρόφασιν ποιούμενος κατὰ τοῦ οἰκείου μητροπολίτου, πρὸ συνοδικῆς διαγνώσεως ἀποστήσει ἑαυτὸν τῆς πρὸς αὐτὸν κοινωνίας, καὶ μὴ ἀναφέροι τὸ ὄνομα αὐτοῦ κατὰ τὸ εἰθισμένον ἐν τῇ θείᾳ μυσταγωγίᾳ, τοῦτον ὥρισεν ἡ ἁγία Σύνοδος καθῃρημένον εἶναι, εἰ μόνον ἀποστὰς τοῦ οἰκείου μητροπολίτου σχίσμα ποιήσει· δεῖ γὰρ ἕκαστον τὰ οἰκεῖα μέτρα γινώσκειν καὶ μήτε τὸν πρεσβύτερον καταφρονεῖν τοῦ ἰδίου ἐπισκόπου, μήτε τὸν ἐπίσκοπον τοῦ ἰδίου μητροπολίτου»· καὶ τοῦ ιε' τῆς αὐτῆς· «Τὰ ὁρισθέντα περὶ πρεσβυτέρων καὶ ἐπισκόπων καὶ μητροπολιτῶν, πολλῷ μᾶλλον ἐπὶ πατριαρχῶν ἁρμόζει· ὥστε εἴ τις πρεσβύτερος ἢ ἐπίσκοπος ἢ μητροπολίτης τολμήσοι ἀποστῆναι τῆς πρὸς τὸν οἰκεῖον πατριάρχην κοινωνίας, καὶ μὴ ἀναφέροι τὸ ὄνομα αὐτοῦ κατὰ τὸ ὡρισμένον καὶ τεταγμένον ἐν τῇ θείᾳ μυσταγωγίᾳ, τοῦτον ὥρισεν ἡ ἁγία καὶ ἱερὰ Σύνοδος πάσης ἱερατείας παντελῶς ἀλλότριον εἶναι, εἰ μόνον ἐλεγχθείη τοῦτο παρανομήσας. Καὶ ταῦτα ἐσφράγισταί τε καὶ ὥρισται περὶ τῶν προφάσει τινῶν ἐγκλημάτων τῶν οἰκείων ἀφισταμένων προέδρων καὶ σχίσμα ποιούντων καὶ τὴν ἕνωσιν τῆς Ἐκκλησίας διασπώντων».

Β') Ὁ αὐτὸς Μακαριουπόλεως πολλάκις ὕστερον προσκληθεὶς ὑπὸ τῆς Ἐκκλησίας οὐ μόνον οὐχ ὑπήκουσεν, ἀλλὰ καὶ ἐπέμενε παρανομῶν, καὶ περιφρονῶν τοὺς κανόνας· τὸν λα' ἀποστολικόν· «Εἴ τις πρεσβύτερος καταφρονήσας τοῦ ἰδίου ἐπισκόπου χωρὶς συναγάγῃ καὶ θυσιαστήριον ἕτερον πήξῃ, μηδὲν κατεγνωκὼς τοῦ ἐπισκόπου ἐν εὐσεβείᾳ καὶ δικαιοσύνῃ, καθαιρείσθω ὡς φίλαρχος· τύραννος γάρ ἐστιν·

Digitized by Google

ὡσαύτως καὶ οἱ λοιποὶ κληρικοὶ καὶ ὅσοι ἂν αὐτῷ προσθῶνται· οἱ δὲ λαϊκοὶ ἀφοριζέσθωσαν»· καὶ τὸν ε΄ τῆς ἐν Ἀντιοχείᾳ Συνόδου· «Εἴ τις πρεσβύτερος ἢ διάκονος καταφρονήσας τοῦ ἰδίου ἐπισκόπου, ἀφώρισεν ἑαυτὸν τῆς Ἐκκλησίας, καὶ ἰδίᾳ συνήγαγε, καὶ θυσιαστήριον ἔστησε, καὶ τοῦ ἐπισκόπου προσκαλεσαμένου ἀπειθείη, τοῦτον καθαιρεῖσθαι παντελῶς, καὶ μήτε θεραπείας τυγχάνειν, μηδὲ δύνασθαι λαμβάνειν τὴν ἑαυτοῦ τιμήν· εἰ δὲ παραμένοι θορυβῶν καὶ ἀναστατῶν τὴν Ἐκκλησίαν διὰ τῆς ἔξωθεν ἐξουσίας, ὡς στασιώδη αὐτὸν ἀποστρέφεσθαι».

Γ΄) Ὁ αὐτὸς παρὰ τὴν ἄδειαν τοῦ οἰκείου πατριάρχου καὶ χειροτονίας ἐτόλμησε ποιήσασθαι παρὰ τὸν λε΄ ἀποστολικόν· «Ἐπίσκοπον μὴ τολμᾷν ἔξω τῶν ἑαυτοῦ ὅρων χειροτονίας ποιεῖσθαι εἰς τὰς μὴ ὑποκειμένας αὐτῷ πόλεις καὶ χώρας· εἰ δὲ ἐλεγχθείη τοῦτο πεποιηκὼς παρὰ τὴν τῶν κατεχόντων τὰς πόλεις ἐκείνας ἢ χώρας γνώμην καθαιρείσθω καὶ αὐτὸς καὶ οὓς ἐχειροτόνησε».

Δ΄) Ὁ αὐτὸς, ἐπίσκοπος ὢν καὶ ὀφείλων διδάσκειν τὸν λαὸν τὴν εὐσέβειαν, τοὐναντίον δολιώτερον φερόμενος, παρώτρυνε τοὺς ὑπ' αὐτὸν εἰς τὴν ἀποσκίρτησιν ἀπὸ τῆς πρὸς τὴν Ἐκκλησίαν ἀφοσιώσεως καὶ ὑποταγῆς, ὥστε καὶ ἀποπλανηθῆναί τινας τῶν ἁπλουστέρων τῆς πατρῴας εὐσεβείας καὶ εἰς οὐνίτας καταντῆσαι (βλ. καθαίρεσιν Ἱλαρίωνος καὶ Αὐξεντίου ἐν Πρακτ. τοῦ ͵αωξα΄). Καὶ ταῦτα, τοῦ νη΄ ἀποστολικοῦ κανόνος διαγορεύοντος· «Ἐπίσκοπος ἢ πρεσβύτερος ἀμελῶν τοῦ κλήρου καὶ τοῦ λαοῦ καὶ μὴ παιδεύων αὐτὸν τὴν εὐσέβειαν ἀφοριζέσθω, ἐπιμένων δὲ τῇ ἀμελείᾳ καθαιρείσθω».

Ε΄) Ὁ Δυρραχίου Αὐξέντιος καὶ ὁ Φιλιππουπόλεως Παΐσιος, τὴν αὐτὴν τοῦ φυλετισμοῦ ἀσπασάμενοι ἀρχὴν, ταῖς

Digitized by Google

αὐταῖς ἐνέπεσον παρανομίαις· ἐφ' ᾧ καὶ συγκατεδικάσθησαν ἐκείνῳ ἐκκλησιαστικῶς ὑπὸ μεγάλης Συνόδου.

ΣΤ΄) Ὁ τὸν καθαιρεθέντα Παΐσιον διαδεξάμενος εἰς τὴν τῆς Φιλιππουπόλεως μητρόπολιν Πανάρετος, πολλάκις προτραπεὶς ὑπὸ τῆς Μεγάλης Ἐκκλησίας ἀπελθεῖν εἰς τὴν ἐπαρχίαν αὐτοῦ, οὐ μόνον οὐκ ἀπῆλθε, παρὰ τὸν ιζ΄ τῆς ἐν Ἀντιοχείᾳ Συνόδου κανόνα τὸν λέγοντα· «Εἴ τις ἐπίσκοπος χειροθεσίαν ἐπισκόπου λαβὼν καὶ ὁρισθεὶς προεστᾶναι λαοῦ μὴ καταδέξοιτο τὴν λειτουργίαν μηδὲ πείθοιτο ἀπιέναι εἰς τὴν ἐγχειρισθεῖσαν αὐτῷ Ἐκκλησίαν, τοῦτον εἶναι ἀκοινώνητον»· ἀλλὰ καὶ μένων ἐνταῦθα συνειργάζετο πρῶτον μὲν κρύφα, εἶτα δὲ καὶ ἀναφανδὸν τοῖς ἀπὸ τῆς Ἐκκλησίας ἀποστᾶσι, μεθ' ὧν καὶ παρασυναγωγὴν συνεκρότησεν ἐν Ὀρτάκιοϊ, ᾗτινι προστίθεται καὶ ὁ Βιδύνης Ἄνθιμος.

Ζ΄) Οἱ αὐτοί, συνωμοσίας ποιούμενοι, ἀνεστάτουν τὸν λαὸν παρὰ τὸν ιη΄ τῆς Δ΄ οἰκουμενικῆς Συνόδου διαγορεύοντα· «Τὸ τῆς συνωμοσίας ἢ φατρίας ἔγκλημα καὶ παρὰ τῶν ἔξω νόμων πάντῃ κεκώλυται, πολλῷ δὲ μᾶλλον ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ τοῦτο γίνεσθαι ἀπαγορεύειν προσήκει. Εἴ τινες τοίνυν κληρικοὶ ἢ μονάζοντες εὑρεθεῖεν ἢ συνομνύμενοι, ἢ φατριάζοντες, ἢ κατασκευὰς τυρεύοντες ἐπισκόποις ἢ συγκληρικοῖς, ἐκπιπτέτωσαν πάντῃ τοῦ οἰκείου βαθμοῦ» (παράβαλε καὶ λδ΄ κανόνα τῆς ς΄ οἰκουμενικῆς Συνόδου).

Η΄) Ὁ Σοφίας Δωρόθεος καὶ ὁ Νυσσάβας Παρθένιος, ταῖς παρανόμοις καὶ φυλετικαῖς εἰσηγήσεσι τῶν εἰρημένων πειθόμενοι, ἄνευ κανονικῆς ἀδείας εἰς ξένας ἐπαρχίας μετέβαινον, κἀκεῖ τὸν λαὸν ἀνεστάτουν καὶ χειροτονίας ἐποιοῦντο, περιφρονοῦντες τοὺς κανόνας, τὸν ιγ΄ τῆς ἐν Ἀντιοχείᾳ· «Μηδένα ἐπίσκοπον τολμᾶν ἀφ' ἑτέρας ἐπαρχίας εἰς ἑτέραν μεταβαίνειν καὶ χειροτονεῖν τινὰς εἰς προαγωγὴν λειτουργίας, μηδὲ εἰ συνεπάγοιτο ἑαυτῷ ἑτέρους, εἰ μὴ παρακληθεὶς ἀφί-

Digitized by Google

κοιτο διὰ γραμμάτων τοῦ τε μητροπολίτου καὶ τῶν σὺν αὐτῷ ἐπισκόπων, ὧν εἰς τὴν χώραν παρέρχοιτο. Εἰ δὲ μηδενὸς καλοῦντος, ἀπέλθοι ἀτάκτως ἐπὶ χειροθεσίᾳ τινῶν, καὶ καταστάσει τῶν ἐκκλησιαστικῶν πραγμάτων μὴ προσηκόντων αὐτῷ, ἄκυρα μὲν τὰ ὑπ' αὐτοῦ πεπραγμένα τυγχάνειν, καὶ αὐτὸν δὲ ὑπέχειν τῆς ἀταξίας αὐτοῦ καὶ τῆς παραλόγου ἐπιχειρήσεως τὴν προσήκουσαν δίκην, καθῃρημένον ἐντεῦθεν ἤδη ὑπὸ τῆς ἁγίας Συνόδου»· καὶ τὸν λε΄ ἀποστολικὸν (ὃν ὅρα ἀνωτέρω).

Θ΄) Οἱ αὐτοὶ ὕβριζον δι' ἐγκυκλίων πρὸς τὸν βουλγαρικὸν λαὸν οὐ μόνον τὸν ἑαυτῶν πατριάρχην, ὑπόδικοι καθαιρέσεως καθιστάμενοι κατὰ τὸν νε΄ ἀποστολικὸν κανόνα· «Εἴ τις κληρικὸς ὑβρίσοι τὸν ἐπίσκοπον, καθαιρείσθω· ἄρχοντα γὰρ τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς»· ἀλλὰ καὶ ὅλην τὴν Ἐκκλησίαν τῆς Κωνσταντινουπόλεως, συκοφαντοῦντες αὐτὴν ὡς δολερὰν, ἀπατηλὴν, φιλόδοξον, ἀντιφατικὴν, ἀγνοοῦσαν ἢ συγκρύπτουσαν ἢ περικόπτουσαν καὶ παρερμηνεύουσαν τοὺς ἱεροὺς κανόνας, καὶ ποιοῦσαν αὐτοὺς σεμνὸν καὶ ὅσιον περικάλυμμα βουλευμάτων καὶ πράξεων ἀνοσίων, ἵνα ἀπατήσῃ τοὺς βουλγάρους» (βλ. ἐγκύκλιον αὐτῶν κατὰ μάϊον τοῦ αωο΄).

Ι΄) Οἱ τρεῖς αὐτῶν, Φιλιππουπόλεως Πανάρετος, Σοφίας Δωρόθεος καὶ Λοφτσοῦ Ἱλαρίων διὰ τῆς ἀπὸ κ΄ δεκεμβρίου ͵αωξη΄, ὁ Βελισσοῦ Γεννάδιος διὰ τῆς ἀπὸ ις΄ μαΐου ͵αωο΄ ἐπιστολῆς, οἷς ἐπηκολούθησαν ἔπειτα καὶ ὁ Βιδύνης Ἄνθιμος καὶ ὁ Νυσσάβας Παρθένιος, ἔπεμψαν τὴν ἀπὸ τῆς εἰς τὸν οἰκεῖον πατριάρχην ὑποταγῆς παραίτησιν, τολμήσαντες ἀποστῆναι τῆς πρὸς τὸν οἰκεῖον πατριάρχην κοινωνίας καὶ σχίσμα ποιῆσαι, παρὰ τὸν ἀνωτέρω καταστρωθέντα ιε΄ κανόνα τῆς ΑΒ΄ Συνόδου. Διδάσκοντες δὲ τὸν λαὸν τοὺς οἰκείους ἐπισκόπους ἀποδιώκειν, παρεκίνουν τοὺς μὲν πρεσβυτέρους καὶ

Digitized by Google

διακόνους πράττειν ἄνευ τῆς γνώμης τοῦ ἐπισκόπου παρὰ τὸν λθ' ἀποστολικὸν διαγορεύοντα· «Οἱ πρεσβύτεροι καὶ διάκονοι ἄνευ γνώμης τοῦ ἐπισκόπου μηδὲν ἐπιτελείτωσαν· αὐτὸς γάρ ἐστιν ὁ πεπιστευμένος τὸν λαὸν τοῦ Κυρίου καὶ τὸν ὑπὲρ τῶν ψυχῶν αὐτῶν λόγον ἀπαιτηθησόμενος»· τὸν δὲ λαὸν ἔνοχον καθιστάντες τῶν ἐκκλησιαστικῶν ἐπιτιμίων τοῦ ιγ' κανόνος τῆς ΑΒ' λέγοντος· «Ὁ δὲ ἐν πρεσβυτέρου τάξει τεταγμένος καὶ τῶν μητροπολιτῶν ἁρπάζων τὴν κρίσιν, καὶ πρὸ κρίσεως αὐτὸς κατακρίνων, ὅσον τὸ ἐπ' αὐτῷ, τὸν οἰκεῖον πατέρα καὶ ἐπίσκοπον, οὗτος οὐδὲ τῆς τοῦ πρεσβυτέρου ἐστιν ἄξιος τιμῆς ἢ ὀνομασίας. Οἱ δὲ τούτῳ συνεπόμενοι, εἰ μὲν τῶν ἱερωμένων εἶέν τινες, καὶ αὐτοὶ τῆς οἰκείας τιμῆς ἐκπιπτέτωσαν· εἰ δὲ μοναχοὶ ἢ λαϊκοὶ ἀφοριζέσθωσαν παντελῶς τῆς Ἐκκλησίας, μέχρις ἂν τὴν πρὸς τοὺς σχισματικοὺς συνάφειαν διαπτύσαντες πρὸς τὸν οἰκεῖον ἐπιστραφεῖεν ἐπίσκοπον».

ΙΑ') Τῇ ϛ' ἰανουαρίου τοῦ παρόντους ἔτους, μετὰ πολυετῆ τῆς Μεγάλης Ἐκκλησίας ἀνοχὴν καὶ μακροθυμίαν, οἱ δύο ἐξ αὐτῶν, ὁ Φιλιππουπόλεως Πανάρετος καὶ ὁ Λοφτσοῦ Ἱλαρίων, συλλειτουργὸν λαβόντες καὶ τὸν ἤδη πρὸ πολλοῦ καθηρημένον Μακαριουπόλεως Ἱλαρίωνα, ἐτόλμησαν, παρὰ τὴν ρητὴν ἀπαγόρευσιν τοῦ οἰκουμενικοῦ πατριάρχου, λειτουργίαν ἐπιτελέσαι, ἐν ᾗ καὶ εἰς χειροτονίαν προέβησαν. Ἐφ' οἷς ἡ Μεγάλη Ἐκκλησία τοῖς μὲν δυσὶν ἐπέβαλε καθαίρεσιν, ὡς τολμήσασι τοῦ οἰκείου πατριάρχου ἀποστῆναι καὶ μὴ μνημονεύσασι τοῦ ὀνόματος αὐτοῦ, κατὰ τοὺς κανόνας ιδ' καὶ ιε' τῆς ΑΒ', τοὺς ἀνωτέρω καταγραφέντας· ὡς συλλειτουργήσασι καθῃρημένῳ κατὰ τὸν ια' ἀποστολικὸν, τὸν λέγοντα· «Εἴ τις καθῃρημένῳ, κληρικὸς ὤν, κληρικῷ συνεύξηται, καθαιρείσθω καὶ αὐτός»· καὶ ὡς χειροτονήσασιν ἄνευ τῆς ἀδείας τοῦ κατὰ τόπον ἀρχιερέως, κατὰ τὸν λε' ἀποστο-

Digitized by Google

λικὸν καὶ ιγ' τῆς ἐν Ἀντιοχείᾳ, ὧν ἐπίσης ἐν τοῖς ἀνωτέρω ἐμνημονεύσαμεν.

Τῷ δὲ ποτὲ Μακαριουπόλεως Ἱλαρίωνι ἀφορισμὸν ἐπέβαλε κατὰ τοὺς κανόνας, τὸν κη' ἀποστολικὸν λέγοντα· «Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος, καθαιρεθεὶς δικαίως ἐπὶ ἐγκλήμασι φανεροῖς, τολμήσειεν ἅψασθαι τῆς ποτὲ ἐγχειρισθείσης αὐτῷ λειτουργίας, οὗτος παντάπασιν ἐκκοπτέσθω τῆς κοινωνίας»· καὶ τὸν λζ' τῆς ἐν Καρθαγένῃ ὁρίζοντα· «Ἤρεσε συμπάσῃ τῇ Συνόδῳ, ἵνα ὁ διὰ ῥαθυμίαν αὐτοῦ ἀπὸ κοινωνίας γενόμενος, εἴτε ἐπίσκοπος, εἴτε οἱοσδή ποτε κληρικός, ἐὰν ἐν τῷ καιρῷ τῆς ἀκοινωνησίας αὐτοῦ πρὸ τοῦ ἀκουσθῆναι εἰς κοινωνίαν τολμήσῃ, αὐτὸς καθ' ἑαυτοῦ τῆς καταδίκης τὴν ψῆφον ἐξενηνοχέναι κριθῇ».

Τοῖς δὲ ἑτέροις τέσσαρσι, Βιδύνης Ἀνθίμῳ, Σοφίας Δωροθέῳ, Νυσσάβας Παρθενίῳ καὶ Βελισσοῦ Γενναδίῳ, ἐν ταῖς ἐπαρχίαις αὐτῶν τηνικαῦτα εὑρισκομένοις καὶ τοῦ τελευταίου παρανομήματος μὴ μετασχοῦσιν, ἡ Μεγάλη Ἐκκλησία ἐκ μητρικῆς προνοίας γράμματα διαπέμψασα ἐδίδου προθεσμίαν, ὅπως μεταμεληθέντες ἐπανακάμψωσιν εἰς τὴν ὁδὸν τοῦ καθήκοντος καὶ τῆς ἐκκλησιαστικῆς πειθαρχίας.

ΙΒ') Ἐν τούτοις, ἐνῷ ἐκ τῶν ἐν Ὀρτάκιοϊ οἱ μὲν ἦσαν καθῃρημένοι, οἱ δὲ ἀφωρισμένοι, οἱ δὲ ἐν ταῖς ἐπαρχίαις τέσσαρες ὑπόδικοι, οἱ πρῶτοι ἐξελέξαντο ἔξαρχον ἐκκλησιαστικῶς ἀνυποστάτου φυλετικῆς Ἐξαρχίας τὸν Βιδύνης Ἄνθιμον, ὑπόδικον ὄντα, ὃς καὶ παρεγένετο εἰς Κωνσταντινούπολιν ἄνευ τῆς κανονικῆς ἀδείας τοῦ πατριάρχου Κωνσταντινουπόλεως, παρὰ τὸν ιγ' κανόνα τῆς ἐν Ἀντιοχείᾳ. Καίτοι δὲ ἡ Ἐκκλησία τρὶς αὐτὸν εἰς ἀπολογίαν ἐκάλεσεν, αὐτὸς μηδὲν ἀπαντήσας, τοῖς δὲ προκαθῃρημένοις πειθόμενος καὶ παναθέσμως ἑαυτὸν ἔξαρχον τῶν Βουλγάρων ἀνακηρύξας, προέβη εἰς αὐθαίρετον ἄρσιν τῆς καθαιρέσεως καὶ τοῦ ἀφορισμοῦ

Digitized by Google

τοῦ Φιλιππουπόλεως Παναρέτου, τοῦ Λοφτσοῦ Ἱλαρίωνος καὶ τοῦ Μακαριουπόλεως Ἱλαρίωνος παρὰ πάντα κανόνα· διότι ὁ μὲν λβ΄ ἀποστολικὸς λέγει· «Εἴ τις πρεσβύτερος, ἢ διάκονος ὑπὸ ἐπισκόπου γένηται ἐν ἀφορισμῷ, τοῦτον μὴ ἐξεῖναι παρ' ἑτέρου δεχθῆναι, ἀλλ' ἢ παρὰ τοῦ ἀφορίσαντος αὐτὸν, εἰ μὴ ἂν κατὰ συγκυρίαν τελευτήσῃ ὁ ἀφορίσας αὐτὸν ἐπίσκοπος»· ὁ δὲ ιβ΄ ἀποστολικός· «Εἴ τις κληρικὸς ἢ λαϊκὸς ἀφωρισμένος, ἤτοι ἄδεκτος, ἀπελθὼν ἐν ἑτέρᾳ πόλει προσδεχθῇ ἄνευ γραμμάτων συστατικῶν, ἀφοριζέσθω καὶ ὁ δεξάμενος καὶ ὁ δεχθείς»· ὁ δὲ ιε΄ τῆς ἐν Ἀντιοχείᾳ· «Εἴ τις ἐπίσκοπος, ἐπί τισιν ἐγκλήμασι κατηγορηθεὶς, κριθείη ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων, πάντες τε σύμφωνοι μίαν κατ' αὐτοῦ ἐξενέγκειεν ψῆφον, τοῦτον μηκέτι παρ' ἑτέροις δικάζεσθαι, ἀλλὰ μένειν βεβαίαν τὴν σύμφωνον τῶν τῆς ἐπαρχίας ἐπισκόπων ἀπόφασιν»· ὁ δὲ ε΄ τῆς Α΄ οἰκουμενικῆς· «Περὶ τῶν ἀκοινωνήτων γενομένων εἴτε τῶν ἐν κλήρῳ, εἴτε τῶν ἐν λαϊκῷ τάγματι ὑπὸ τῶν καθ' ἑκάστην ἐπαρχίαν ἐπισκόπων, κρατείτω ἡ γνώμη κατὰ τὸν κανόνα τὸν διαγορεύοντα, τοὺς ὑφ' ἑτέρων ἀποβληθέντας ὑφ' ἑτέρων μὴ προσίεσθαι»· ὁ δὲ ε΄ τῆς Γ΄ οἰκουμενικῆς· «Ὅσοι ἐπὶ ἀτόποις πράξεσι κατεκρίθησαν ὑπὸ τῆς ἁγίας Συνόδου ἢ ὑπὸ τῶν οἰκείων ἐπισκόπων, καὶ τούτοις ἀκανονίστως κατὰ τὴν ἐν ἅπασιν ἀδιαφορίαν αὐτοῦ ὁ Νεστόριος καὶ οἱ τὰ αὐτοῦ φρονοῦντες ἀποδοῦναι ἐπειράθησαν, ἢ πειραθεῖεν, κοινωνίαν, ἢ βαθμὸν, ἀνωφελήτους μένειν καὶ τούτους καὶ εἶναι οὐδὲν ἧττον καθῃρημένους ἐδικαιώσαμεν»· ὁ δὲ δ΄ κανὼν τῆς ἐν Ἀντιοχείᾳ Συνόδου λέγει· «Εἴ τις ἐπίσκοπος ἢ διάκονος ὑπὸ τοῦ ἰδίου ἐπισκόπου τολμήσειέ τι πρᾶξαι τῆς λειτουργίας, εἴτε ὁ ἐπίσκοπος, κατὰ τὴν προάγουσαν συνήθειαν, εἴτε ὁ πρεσβύτερος, εἴτε ὁ διάκονος, μηκέτι ἐξὸν εἶναι αὐτῷ μηδ' ἐν ἑτέρᾳ συνόδῳ ἐλπίδα ἀποκαταστάσεως, μήτε ἀπολογίας χώραν ἔχειν, ἀλλὰ καὶ τοὺς κοινω-

Digitized by Google

νοῦντας αὐτῷ πάντας ἀποβάλλεσθαι τῆς Ἐκκλησίας, καὶ μάλιστα εἰ μαθόντες τὴν ἀπόφασιν τὴν κατὰ τῶν προειρημένων ἐξενεχθεῖσαν, τολμήσειεν αὐτοῖς κοινωνεῖν».

ΙΓ΄) Ὁ αὐτὸς Βιδύνης Ἄνθιμος, τούτοις μὴ ἀρκεσθεὶς, τοῖς προκαθῃρημένοις συνελειτούργησε. Διὸ καὶ ἡ Ἐκκλησία αὐτῷ μὲν τὴν καθαίρεσιν ἐπήνεγκεν, ὡς καταφρονήσαντι τοῦ οἰκείου πατριάρχου καὶ ἴδιον θυσιαστήριον πήξαντι, κατὰ τὸν λα΄ ἀποστολικὸν καὶ τὸν ιη΄ τῆς Δ΄ καὶ λδ΄ τῆς ς΄ ὡς συλλειτουργήσαντι καθῃρημένοις, κατὰ τὸν ια΄ ἀποστολικὸν, καὶ ὡς σχίσμα ποιήσαντι, κατὰ τὸν ε΄ τῆς ἐν Ἀντιοχείᾳ καὶ ιε΄ τῆς ΑΒ΄.

Ὁμοίως δὲ τὴν καθαίρεσιν ἐπήνεγκε καὶ τοῖς συλλειτουργήσασιν ἱερεῦσι καὶ διακόνοις· τοῖς δὲ προκαθῃρημένοις δυσὶν, Ἱλαρίωνι καὶ Παναρέτῳ ἀφορισμὸν, κατὰ τοὺς κανόνας κη΄ ἀποστολικὸν, καὶ λζ΄ τῆς ἐν Καρθαγένῃ.

ΙΔ΄) Ἀλλὰ καὶ μετὰ τὰ ἐκκλησιαστικὰ καὶ κανονικὰ ταῦτα ἐπιτίμια οἱ προεξάρχοντες τῆς ἐκκλησιαστικῆς ἀποστασίας καὶ οἱ τούτοις ὁμόφρονες, ἀντὶ τοῦ συνελθεῖν εἰς ἑαυτοὺς καὶ μετανοῆσαι. ἐμμένοντες τοὐναντίον, ὡς μὴ ὤφελεν, ἐν τῇ ἀπειθίᾳ καὶ ταῖς ἀντικανονικαῖς αὐτῶν πράξεσιν, ὅλως ἑαυτοὺς τῆς Ἐκκλησίας ἀπέσχισαν κατὰ τὸν προμνησθέντα δ΄ κανόνα τῆς ἐν Ἀντιοχείᾳ· ἰδίαν δὲ συστησάμενοι Ἐκκλησίαν, ἐθνικὴν βουλγαρικὴν Ἐκκλησίαν ταύτην ἀπεκάλεσαν, καὶ εἰς τὸ ἔπακρον τῆς ἀπονοίας καταντήσαντες εἰς χειροτονίας ἀρχιερέων καὶ ἱερέων ὁσημέραι προβαίνουσι· διότι ἐκπεσόντες ἅπαξ τῆς χάριτος τῆς ἱερωσύνης, οἱ μὲν λαϊκῶν τόπον ἐπέχοντες, οἱ δὲ καὶ τῆς Ἐκκλησίας αὐτῆς ἔξω ὄντες, Θεῷ καὶ τῷ ἁγίῳ Πνεύματι ψευδόμενοι, παίζουσιν ἐν οὐ παικτοῖς, μετάδοσιν ἱερωσύνης ἑτέροις ἐπαγγελλόμενοι, ἧσπερ αὐτοὶ ἐστερήθησαν· «Τίς γὰρ» κατὰ τὴν ἐν Καρχηδόνι Σύνοδον, «δύναται δοῦναι, ὅπερ αὐτὸς οὐκ ἔχει, ἢ πῶς δύναται πνευματι-

Digitized by Google

κὰ ἐργάζεσθαι ὁ ἀποβαλὼν Πνεῦμα ἅγιον;» Ἐπληρώθη, φαίνεται, πάντως ἐπ' αὐτοῖς τὸ γραφικὸν ἐκεῖνο «Ἀσεβὴς εἰς βάθος κακῶν ἐμπεσὼν καταφρονεῖ».

Ἐκ τῶν εἰρημένων πᾶσι πάντως κατάδηλον γίνεται, ὅτι οἱ οὕτω τῆς Ἐκκλησίας ἀποσκιρτήσαντες, καὶ ἴδιον φυλετικὸν θυσιαστήριον ἐγεῖραι τολμήσαντες, καὶ διὰ τὴν ἀποστασίαν καὶ ἀπείθειαν καὶ ἀμετανοησίαν αὐτῶν καθαιρεθέντες καὶ ἀφορισθέντες ὑπὸ τῆς Ἐκκλησίας, οὐδὲν ἄλλο συγκροτοῦσι μετὰ τῶν ἀκολουθούντων αὐτοῖς, ἢ παρασυναγωγὴν καὶ σχίσμα, καθ' ἃ μετὰ τοῦ χοροῦ τῶν ἁγίων πατέρων καὶ ὁ οὐρανοφάντωρ Βασίλειός φησι· «Παρασυναγωγὰς δὲ (οἱ Πατέρες ἐκάλεσαν) τὰς συνάξεις τὰς παρὰ τῶν ἀνυποτάκτων πρεσβυτέρων ἢ ἐπισκόπων καὶ παρὰ τῶν ἀπαιδεύτων λαῶν γινομένας. Οἷον εἴ τις ἐν πταίσματι ἐξετασθεὶς ἀπεσχέθη τῆς λειτουργίας καὶ μὴ ὑπέκυψε τοῖς κανόσιν, ἀλλ' ἑαυτῷ ἐξεδίκησε τὴν προεδρείαν καὶ τὴν λειτουργείαν, καὶ συναπῆλθον τούτῳ τινὲς καταλιπόντες τὴν καθολικὴν Ἐκκλησίαν, παρασυναγωγὴ τὸ τοιοῦτον. Σχίσματα δὲ τοὺς δι' αἰτίας τινὰς ἐκκλησιαστικὰς καὶ ζητήματα ἰάσιμα πρὸς τὴν Ἐκκλησίαν διενεχθέντας».

Τελευτῶντες ὑπομιμνήσκομεν τῇ ἁγίᾳ καὶ μεγάλῃ Συνόδῳ τὴν σεβαστὴν ῥήτραν τῆς ὀρθοδόξου ῥωσσικῆς Ἐκκλησίας, ἣν φθᾶσα προεξήνεγκεν ἡ ἁγιωτάτη διοικοῦσα Σύνοδος ἐν τῇ ἀπὸ ιθ' ἀπριλίου τοῦ ͵αωξθ' περιπύστῳ ἀπαντήσει αὐτῆς πρὸς τὸν οἰκουμενικὸν πατριάρχην καὶ πρὸς ἅπασαν τὴν περὶ αὐτὸν ἱερὰν Σύνοδον περὶ αὐτῆς ταύτης τῆς ὑποθέσεως· «Ἄνευ τῆς συγκαταθέσεως τῆς αὐτοῦ Πα-
» ναγιότητος καὶ παρὰ τὴν θέλησιν αὐτῆς, οἱ Βούλγαροι
» δὲν δικαιοῦνται τὸ παράπαν νὰ λάβωσιν ἢ ἀποσπάσω-
» σιν ἀπ' αὐτῆς ὅ,τι ἐπιδιώκουσιν. Ἧττον δὲ δικαιοῦνται
» ν' ἀπαλλαγῶσι τῆς ἐκκλησιαστικῆς ἐξαρτήσεως, ἥτις συν-

Digitized by Google

» *δέει αὐτοὺς μετὰ τοῦ ὑπερτάτου αὐτῶν ποιμένος καὶ ἀ-*
» *ποσπασθῶσιν ἀπ αὐτοῦ αὐτογνωμόνως, διότι τὸ τοιοῦτον*
» *ἤθελεν εἶσθαι σχίσμα, καὶ οἱ Βούλγαροι κατὰ τοὺς κα-*
» *νόνας τῆς Ἐκκλησίας ἤθελον θεωρηθῇ ἀναποφεύκτως ὡς*
» *σχισματικοί».*

Η ΕΠΙΤΡΟΠΗ

† Ὁ Χαλκηδόνος **Γεράσιμος**.— † Ὁ Δέρκων **Νεόφυτος**.— † Ὁ Διδυμοτείχου **Διονύσιος**.— † Ὁ Νύσσης **Καλλίνικος**.— † Ὁ Μ. πρωτοσύγκελλος **Δωρόθεος Εὐελπίδης**. — Ὁ ἀρχιμανδρίτης **Φιλόθεος Βρυέννιος**.— Ὁ ἀρχιμανδρίτης **Νικηφόρος Γλυκᾶς**. — Ὁ ἀρχιμανδρίτης **Γερμανὸς Ἀφθονίδης**. — Ὁ πρωτοσύγκελλος **Καλλίνικος Φωτιάδης**.— Ὁ ἱεροδιάκονος **Κωνσταντῖνος Βαλιάδης**.

Digitized by Google

Ο ΟΡΟΣ
ΤΗΣ ΤΟΠΙΚΗΣ ΣΥΝΟΔΟΥ ΤΟΥ 1872

«Προσέχειν ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους ποιμαίνειν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος», τὸ τῆς ἐκλογῆς ἡμῖν σκεῦος ἐντέλλεται, λύκους τε βαρεῖς μὴ φειδομένους τοῦ ποιμνίου καὶ ἄνδρας διεστραμμένα λαλοῦντας, τοῦ ἀποσπᾷν τοὺς μαθητὰς ὀπίσω αὐτῶν, ἀναστήσεσθαι ἐν μέσῳ τῆς τοῦ Θεοῦ Ἐκκλησίας, προαγορεύων, καὶ γρηγορεῖν ἡμᾶς διὰ τοῦτο παρακελευόμενος.

Τοιούτους τοίνυν ἄνδρας καὶ ἐπ' ἐσχάτων ἐν τῷ τοῦ οἰκουμενικοῦ Θρόνου κλίματι ἐκ μέσου τοῦ εὐσεβοῦς βουλγαρικοῦ λαοῦ ἐξαναστάντας, καὶ φυλετισμοῦ καινήν τινα δόξαν ἀπὸ τοῦ γεηροῦ βίου τῇ Ἐκκλησίᾳ παρεισαγαγεῖν τολμήσαντας, καὶ καταφρονητὰς τῶν θείων καὶ ἱερῶν κανόνων γενομένους, πρωτοφανῆ ἐπ' ἀθετήσει αὐτῶν φυλετικὴν παρασυναγωγὴν συστῆσαι ἀπαυθαδιάσαντας, μετ' ἐκπλήξεως καὶ ἄλγους καρδίας κατα-

Digitized by Google

μαθόντες, τὸν ζῆλον τοῦ Κυρίου, ὡς εἰκὸς, ἀνεζωσμένοι καὶ τὴν τοῦ κακοῦ διάδοσιν ἐν μέσῳ τοῦ εὐσεβοῦς τούτου λαοῦ ἀνακόψαι ἀξιοχρέως προνοούμενοι, ἐπὶ τῷ ὀνόματι τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ συνεληλύθαμεν.

Καὶ δὴ ἐν κατανύξει ψυχῆς τὴν ἄνωθεν παρὰ τοῦ Πατρὸς τῶν φώτων χάριν ἐπικαλεσάμενοι, καὶ τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, «ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι», εἰς μέσον προθέμενοι, τὸν μὲν φυλετισμὸν πρός τε τὴν εὐαγγελικὴν διδασκαλίαν καὶ τὸ ἀπ' αἰώνων τῆς τοῦ Θεοῦ Ἐκκλησίας πολίτευμα ἀντιπαρεξετάσαντες, οὐχ' ὅπως ξένον, ἀλλὰ καὶ πολέμιον ἄντικρυς αὐτοῖς κατεφωράσαμεν, τὰς δὲ παρανομίας, τὰς ἐπὶ συστάσει γενομένας τῆς φυλετικῆς αὐτῶν παρασυναγωγῆς, καθ' ἑκάστας ἀπαριθμηθείσας, ὑπὸ τοῦ συντάγματος τῶν ἱερῶν κανόνων ἀναφανδὸν κατεξελεγχομένας κατείδομεν.

Διὸ καὶ μετὰ τῶν ἁγίων καὶ θεοφόρων πατέρων ἡμῶν «ἀσπασίως τοὺς θείους κανόνας ἐνστερνιζόμενοι, καὶ ὁλόκληρον τὴν αὐτῶν διαταγὴν καὶ

Digitized by Google

ἀσάλευτον κρατύνοντες, τῶν ἐκτεθέντων ὑπὸ τῶν σαλπίγγων τοῦ Πνεύματος πανευφήμων Ἀποστόλων, τῶν τε ἁγίων ἑπτὰ Οἰκουμενικῶν Συνόδων καὶ τῶν τοπικῶς συναθροισθεισῶν ἐπὶ ἐκδόσει τοιούτων διαταγμάτων, καὶ τῶν ἁγίων πατέρων ἡμῶν· ἐξ ἑνὸς γὰρ ἅπαντες καὶ τοῦ αὐτοῦ Πνεύματος αὐγασθέντες ὥρισαν τὰ συμφέροντα», ἐν ἁγίῳ Πνεύματι ἀποφαινόμεθα·

Α΄) Ἀποκηρύττομεν κατακρίνοντες καὶ καταδικάζοντες τὸν φυλετισμόν, τουτέστι τὰς φυλετικὰς διακρίσεις καὶ τὰς ἐθνικὰς ἔρεις καὶ ζήλους καὶ διχοστασίας ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ὡς ἀντικείμενον τῇ διδασκαλίᾳ τοῦ Εὐαγγελίου καὶ τοῖς ἱεροῖς κανόσι τῶν μακαρίων πατέρων ἡμῶν, «οἳ καὶ τὴν ἁγίαν Ἐκκλησίαν ὑπερείδουσι, καὶ ὅλην τὴν χριστιανικὴν πολιτείαν διακοσμοῦντες πρὸς θείαν ὁδηγοῦσιν εὐσέβειαν»·

Β΄) Τοὺς παραδεχομένους τὸν τοιοῦτον φυλετισμὸν καὶ ἐπ᾽ αὐτῷ τολμῶντας παραπηγνύναι καινοφανεῖς φυλετικὰς παρασυναγωγὰς κηρύττομεν, συνῳδὰ τοῖς ἱεροῖς κανόσιν, ἀλλοτρίους τῆς μιᾶς, ἁγίας, καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας,

Digitized by Google

καὶ αὐτὸ δὴ τοῦτο ΣΧΙΣΜΑΤΙΚΟΥΣ. Ἐπομένως, τοὺς ἀποσχίσαντας ἑαυτοὺς τῆς ὀρθοδόξου Ἐκκλησίας, καὶ ἴδιον θυσιαστήριον πήξαντας, καὶ ἰδίαν φυλετικὴν παρασυναγωγὴν συστησαμένους, ἤτοι τοὺς προκαθαιρεθέντας καὶ ἀφορισθέντας, Ἱλαρίωνα τὸν ποτὲ Μακαριουπόλεως, Πανάρετον τὸν ποτὲ Φιλιππουπόλεως, Ἱλαρίωνα τὸν ποτὲ Λοφτσοῦ, Ἄνθιμον τὸν ποτὲ Βιδύνης, καὶ τοὺς ἤδη καθαιρεθέντας, Δωρόθεον τὸν τέως Σοφίας, Παρθένιον τὸν τέως Νυσσάβας, Γεννάδιον τὸν τέως Βελισσοῦ, καὶ τοὺς ὑπ' αὐτῶν ἀνιέρως χειροτονηθέντας ἀρχιερεῖς, ἱερεῖς τε καὶ διακόνους, καὶ πάντας τοὺς κοινωνοῦντας καὶ συμφρονοῦντας καὶ συμπράττοντας αὐτοῖς, καὶ τοὺς δεχομένους ὡς κυρίας καὶ κανονικὰς τὰς ἀνιέρους αὐτῶν εὐλογίας τε καὶ ἱεροπραξίας, κληρικούς τε καὶ λαϊκούς, κηρύττομεν ΣΧΙΣΜΑΤΙΚΟΥΣ καὶ ἀλλοτρίους τῆς τοῦ Χριστοῦ ὀρθοδόξου Ἐκκλησίας.

Ταῦτα οὕτω διοριζόμενοι, δεόμεθα τοῦ παναγάθου καὶ φιλανθρώπου Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἀρχηγοῦ καὶ τελειωτοῦ τῆς ἡμε-

Digitized by Google

τέρας πίστεως, ἵνα τὴν μὲν ἁγίαν αὐτοῦ Ἐκκλησίαν διατηρῇ ἄμωμον καὶ ἀλώβητον ἀπὸ πάσης νεωτερικῆς λύμης, ἐρηρεισμένην ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν· τοῖς δὲ ἑαυτοὺς ἀπ' αὐτῆς ἀποσχίσασι καὶ ἐπὶ τῇ τοῦ φυλετισμοῦ δόξῃ τὴν παρασυναγωγὴν αὐτῶν πήξασι δῷ μετάνοιαν, εἴ πώς ποτε ἀνανήψαντες καὶ τὰ ἑαυτῶν ἀποπτύσαντες προσέλθοιεν τῇ μιᾷ, ἁγίᾳ, καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ· ἵνα ἐν αὐτῇ δοξάζωσι μετὰ πάντων τῶν ὀρθοδόξων τὸν μέγαν τῆς εἰρήνης ἄγγελον καὶ Θεόν, τὸν ἐλθόντα καταλλάξαι πάντας καὶ εἰρήνην εὐαγγελίσασθαι τοῖς ἐγγύς τε καὶ μακράν· ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

† Ο ΠΑΤΡΙΑΡΧΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΑΝΘΙΜΟΣ ἔχων καὶ τὴν γνώμην τοῦ παναγιωτάτου πατριάρχου πρῴην Κων]πόλεως Ἀνθίμου τοῦ Βυζαντίου ὁρίσας ὑπέγραψα.

† Ὁ πατριάρχης πρώην Κων]πόλεως **Γρηγόριος** ὁρίσας ὁμοίως ὑπέγραψα.

† Ὁ πατριάρχης πρώην Κων]πόλεως **Ἰωακεὶμ** ὁρίσας ὁμοίως ὑπέγραψα.

† Ὁ πάπας καὶ πατριάρχης Ἀλεξανδρείας **Σωφρόνιος** ὁρίσας ὁμοίως ὑπέγραψα.

Digitized by Google

† Ὁ πατριάρχης Ἀντιοχείας **Ἱερόθεος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Κύπρου ἀρχιεπίσκοπος **Σωφρόνιος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Ἐφέσου **Ἀγαθάγγελος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Ἡρακλείας **Πανάρετος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Νικομηδείας **Διονύσιος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Νικαίας **Ἰωαννίκιος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Χαλκηδόνος **Γεράσιμος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Δέρκων **Νεόφυτος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Τορνόβου **Γρηγόριος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Διδυμοτείχου **Διονύσιος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Ἰκονίου **Σωφρόνιος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Ἀγκύρας **Χρύσανθος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Αἴνου **Μελέτιος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Σάμου καὶ Ἰκαρίας **Γαβριὴλ** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Σωζουαγαθουπόλεως **Θεόφιλος** ὁρίσας ὁμ. ὑπέγραψα.
† Ὁ Ἴμβρου **Παΐσιος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Βελεγράδων **Ἄνθιμος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Νύσσης **Καλλίνικος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Σβορνικίου **Διονύσιος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Λιτίτζης **Ἰγνάτιος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Βράτζης **Παΐσιος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Μελιτουπόλεως **Εὐγένιος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Ἀναστασιουπόλεως **Κύριλλος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Παμφίλου **Διονύσιος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Χαριουπόλεως **Γεννάδιος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Ἀργυρουπόλεως **Ἀθανάσιος** ὁρίσας ὁμοίως ὑπέγραψα.
† Ὁ Λαοδικείας **Παρθένιος** ὁρίσας ὁμοίως ὑπέγραψα.



Digitized by Google

Σχετικαὶ τῆς Μ. Ἐκκλησίας ἐγκύκλιοι

Α' πρὸς τοὺς ἀρχιερεῖς τοῦ θρόνου

ΑΝΘΙΜΟΣ ἐλέῳ Θεοῦ κτλ.

Ἱερώτατε μητροπολῖτα... ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος κὺρ... χάρις εἴη τῇ αὐτῆς ἀρχιερωσύνῃ καὶ εἰρήνη παρὰ Θεοῦ. Γνωστὰ πάντως ἐγένοντο καὶ τῇ αὐτῆς ἀρχιερωσύνῃ ὅσα τε καὶ οἷά τινες τῶν, ὡς μὴ ὤφειλεν, ἀρχιερέων κατὰ τῆς ὀρθοδοξίας καὶ τῶν ἱερῶν κανόνων κατεθρασύνθησαν, καὶ ἀποστασίαν κατὰ τῆς ἑαυτῶν μητρός τε καὶ τιθηνοῦ τῆς ἁγίας Ἐκκλησίας ἐκίνησαν, τὴν ὀρθόδοξον ποίμνην διχοτομῆσαι πειραθέντες, καὶ φυλετικὰς διαιρέσεις εἰσαγαγεῖν εἰς τὴν μίαν τοῦ Χριστοῦ Ἐκκλησίαν. Τούτους οὖν, ὡς λύκους βαρεῖς ἐν ἐνδύμασι προβάτων ἐκ τῶν ἔργων πεφωραμένους, καὶ ἀνιάτως νοσήσαντας, καὶ μὴ βουληθέντας συνιέναι καὶ γνωσιμαχῆσαι, ἀλλ' ὁσημέραι παρανομίας ἐπὶ παρανομιῶν προσθεμένους ἐφ' ὕβρει τῆς ὀρθοδόξου Ἐκκλησίας, καὶ ἀνατροπῇ τῶν ἱερῶν κανόνων, καὶ ψυχικῇ ἀπωλείᾳ τῶν ὑπ' αὐτοὺς ὀρθοδόξων βουλγάρων, οὓς εἰς τὸν αὐτὸν τῆς ἀνταρσίας χείμαρρον συμπαρασύραι διὰ πάσης εἶχον σπουδῆς, ἡ ἁγία τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία, πολλὴν πρότερον μακροθυμίαν ἐνδειξαμένη, καὶ φιλοστόργως εἰς μετάνοιαν κατ' ἐπανάληψιν προσκαλεσαμένη, καὶ πᾶν μέσον εἰς διαλλαγὴν ἐξαντλήσασα, μηδὲν δ' εἰς τέλος ἀνύσασα, ἐν συνοχῇ καρδίας μεγάλην Σύνοδον συνεκρότησεν, ἐν ᾗ τὰ κατ' αὐτοὺς ἀκριβῶς ἀνακρίνασα, καὶ ἀνατρεπεῖς τῶν ἱερῶν θεσμίων εὑροῦσα, πρώην μὲν τῆς ἱερατικῆς ἀξίας καὶ χάριτος ἄρδην ἐξεγύμνωσε, καθαιρέσει τε καὶ ἀφορισμῷ καὶ ἀναθέματι κατεταρτάρωσεν ἐπὶ φυλακῇ τῶν ἱερῶν κανόνων· ὡς δὲ οὐδ' οὕτω τοῦ κρείττονος ἐγένοντο, ἀλλ' ἐπὶ τὰ χείρω ἐτρέποντο, καὶ δεινῶς παρηνόμουν, ἁγίαν καὶ μεγάλην συγκροτήσασα Σύνοδον, αὐτοὺς μὲν τοὺς ἀρχηγοὺς τῆς ἀνταρσίας καὶ πάντας τοὺς

Digitized by Google

ὁμοφρονοῦντας καὶ κοινωνοῦντας αὐτοῖς παρασυναγώγους καὶ σχισματικοὺς διεκήρυξε, καὶ τῆς τῶν ὀρθοδόξων ὁλομελείας ἐξέκοψε, τοὺς δὲ τῇ ὀρθοδοξίᾳ ἐμμένοντας καὶ τὰς ἐκείνων μὲν παρανομίας καταγινώσκοντας, τοῖς δὲ ἱεροῖς κανόσιν ὑπείκοντας, ὡς τέκνα ὑπακοῆς, φιλοστόργως τε ἐντερνίζεται, καὶ μητρικῶς ἀγαπᾷ, καὶ τὰς εὐλογίας αὐτῆς ἐπιδαψιλεύεται. Ἐπὶ τούτοις οὖν καὶ ὅρον συνοδικὸν ἐξέδοτο, οὗ ἀντίτυπα ἀποστέλλοντες καὶ τῇ αὐτῆς ἀρχιερωσύνῃ, ἐντελλόμεθα ἐκκλησιαστικῶς καὶ προτρεπόμεθα, ὅπως, ἅμα τῷ λαβεῖν, ἀναγνῷ αὐτὸν, εἴτε δι' ἑαυτῆς εἴτε καὶ δι' ἐπίτηδες ἀπεσταλμένων ἱερωμένων, ἐν πάσαις ταῖς ἱεραῖς ἐκκλησίαις τῆς θεοσώστου αὐτῆς παροικίας, καὶ ἀναπτύξασα ἀκριβῶς εἰς ἐπήκοον ἁπάντων τῶν ὑπ' αὐτὴν εὐλογημένων χριστιανῶν τὴν ἔννοιαν αὐτοῦ, προτρέψηται καὶ δι' ἰδίων αὐτῆς λόγων πάντας ἀπαρεγκλίτως ἐμμένειν εἰς ὅσα ἔμαθον καὶ ἐπιστώθησαν, εἰδότας παρὰ τίνων ἔμαθον, καὶ ἀποδιοπομπεῖσθαι τὰς βεβήλους ταύτας καὶ ἀντικανονικὰς τῶν σχισματικῶν τούτων καινοφωνίας καὶ φυλετικὰς ἀξιώσεις, καὶ ἡγεῖσθαι αὐτοὺς ἐκβεβλημένους πάμπαν τῆς ὀρθοδόξου Ἐκκλησίας, μηδὲ κοινωνεῖν αὐτοῖς ὅλως, μηδὲ τὴν ἀνίερον χεῖρα ἀσπάζεσθαι, μηδὲ εἰς ἐκτέλεσιν ἱεροῦ τινος μυστηρίου ἢ ἄλλης τελετῆς αὐτοὺς προσκαλεῖν, ἅτε δὴ ἀνιέρους καὶ τοῦ μεταδοτικοῦ πνευματικοῦ χαρίσματος στερηθέντας, θεοκαπήλους δέ τινας ὄντας τε καὶ καταστιγματισθέντας· ἔτι δὲ μὴν μηδὲ τοὺς παρ' αὐτῶν, προκαθῃρημένων, χειροτονηθέντας ἀρχιερεῖς καὶ ἱερεῖς καὶ διακόνους ὡς τοιούτους ἐπιγινώσκειν καὶ σέβεσθαι, ἀλλ' ἀφίστασθαι ἀπό τε τούτων κἀκείνων, καὶ τῶν αὐτοῖς ὁμοφρονούντων, ὡς ἀποστατῶν καὶ τῆς πατρῴας εὐσεβείας λυμεώνων, καὶ αὐτὸ τοῦτο **σχισματικῶν.** Ταῦτα ὑποτυποῦντές καὶ τῇ αὐτῆς ἀρχιερωσύνῃ, προτρεπόμεθα αὐτὴν, ὅπως, κατὰ τὸ ἱερὸν αὐτῆς καθῆκον, πᾶσαν καταβάλῃ μέριμναν ὑπὲρ τῶν ἐμπεπιστευμένων αὐτῇ χριστιανῶν, διδάσκουσα πάντας, μάλιστα δὲ τοὺς ἱερεῖς, τοὺς ἄμεσον συνάφειαν μετὰ τοῦ λαοῦ ἔχοντας, καὶ δυναμένους διαφωτίσαι τοὺς ἁπλουστέρους, ὅτι οἱ μὲν τῇ ὀρθοδοξίᾳ στοιχοῦντες, καὶ τοῖς ἱεροῖς κανόσιν ἑπόμενοι, καὶ τῶν πατρικῶν διδαγμάτων καὶ ἐνταλμάτων ἀντεχόμενοι, ἄν τε γραικοὶ

Digitized by Google

ἄν τε βούλγαροι ὦσιν, «οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ», πολὺν μὲν ἐξ αὐτοῦ τὸν μισθόν, τῆς δὲ ἁγίας ἡμῶν Ἐκκλησίας τὰς εὐφημίας καὶ εὐλογίας δαψιλεῖς ἕξουσι, καί, κατὰ τὸν ἱερὸν ψαλμῳδόν, «ἡ ψυχὴ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτῶν κληρονομήσει γῆν»· εἰ δέ τις, τοῖς ἀποστατήσασι σχισματικοῖς ἀνιέροις καὶ προκαθῃρημένοις ἀρχιερεῦσι* καὶ ἱερεῦσι καὶ διακόνοις συμφρονήσας, λάθρα ἢ ἐκ τοῦ ἐμφανοῦς ἐκείνοις ἐπικοινωνήσειε, καὶ αὐτοὺς ἢ τὰ παρ' αὐτῶν δέξαιτο, οὗτος τῆς μὲν ὁλομελείας τῶν ὀρθοδόξων ἀποσχισθήσεται, ὑπόδικος δ' ἔσται ταῖς ποιναῖς, ἃς οἱ θεοκήρυκες ἀπόστολοι καὶ ὁ τῶν ἁγίων ἡμῶν πατέρων ἱερὸς θίασος κατὰ τῶν παραβατῶν ὥρισαν. Ταῦτα τοίνυν κατ' ὀφειλὴν γράφοντες καὶ αὐτῇ, πᾶν ἀγαθὸν καὶ σωτήριον ἐκ τῆς ἀρχιερατικῆς αὐτῆς μερίμνης ἀπεκδεχόμεθα· ἡ δὲ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ τῆς ἀρχιερωσύνης αὐτῆς. αωοβ', σεπτεμβρίου κε'.

† Ὁ Κων]πόλεως ἐν Χριστῷ ἀγαπητὸς ἀδελφὸς

† Ὁ Ἐφέσου **Ἀγαθάγγελος**	† Ὁ Ἡρακλείας **Πανάρετος**
† Ὁ Νικομηδείας **Διονύσιος**	† Ὁ Νικαίας **Ἰωαννίκιος**
† Ὁ Δέρκων **Νεόφυτος**	† Ὁ Τορνόβου **Γρηγόριος**
† Ὁ Διδυμοτείχου **Διονύσιος**	† Ὁ Ἰκονίου **Σωφρόνιος**
† Ὁ Σάμου **Γαβριὴλ**	† Ὁ Ἴμβρου **Παΐσιος**
† Ὁ Βελεγράδων **Ἄνθιμος**	† Ὁ Νύσσης **Καλλίνικος**

ἐν Χριστῷ ἀγαπητοὶ ἀδελφοί.

(*) *Παραλείπομεν τὴν καθαίρεσιν τοῦ Βελισσοῦ Γενναδίου, Νυσσάβας Παρθενίου καὶ Σοφίας Δωροθέου, καθὸ ταῖς ἄλλαις ὁμοίαν οὖσαν.*

Digitized by Google

Β' πρὸς τοὺς ὀρθοδόξους Κωνσταντινουπόλεως

ΑΝΘΙΜΟΣ ἐλέῳ Θεοῦ κτλ.

Ἐντιμότατοι κληρικοὶ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ εὐλαβέστατοι ἱερεῖς, καὶ ὁσιώτατοι ἱερομόναχοι, οἱ ψάλλοντες ἐν ταῖς ἱεραῖς ἐκκλησίαις τῆς Πόλεως, τοῦ Γαλατᾶ καὶ τοῦ καθ' ἡμᾶς Καταστένου, καὶ λοιποὶ ἁπαξάπαντες εὐλογημένοι χριστιανοὶ, τέκνα ἐν Κυρίῳ ἡμῶν ἀγαπητά· χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ. Γνωστὰ πᾶσιν ὑμῖν τὰ ἀπὸ δωδεκαετίας ὑπὸ μερίδος τινὸς τοῦ εὐσεβοῦς βουλγαρικοῦ λαοῦ κατὰ τῆς Ἐκκλησίας τεκταινόμενα. Ἄνθρωποί τινες, ἱερατικὴν ἀξίαν περιβεβλημένοι, καὶ καθῆκον ἔχοντες διδάσκαλοι εἶναι καὶ «τύποι τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πνεύματι, ἐν πίστει, ἐν ἁγνείᾳ», τἀναντία πάντῃ πράττοντες, παρέβαινον μὲν τὰς φρικτὰς ὁμολογίας, ἅςπερ ἐνώπιον τοῦ βήματος τοῦ Χριστοῦ μετὰ χεῖρας φέροντες τὸ ἱερὸν Εὐαγγέλιον δεδώκασι, μετὰ λαϊκῶν δέ τινων, ὑπὸ τοῦ πνεύματος τοῦ κόσμου τούτου ἐμπνεομένων, καινήν τινα δόξαν φυλετισμοῦ τῇ Ἐκκλησίᾳ εἰσαγαγεῖν τολμήσαντες, ἀνεστάτουν τὸν λαὸν καὶ φυλετικὴν παρασυναγωγὴν ἑαυτοῖς συνεστήσαντο.

«Ὁ μέντοι στερεὸς θεμέλιος τοῦ Θεοῦ ἕστηκεν ἔχων τὴν σφραγῖδα ταύτην, Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ· καὶ, Ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου». Καὶ πρὸς τὸν θεμέλιον τοῦτον ἡ Ἐκκλησία τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας, ἔγνω ἵνα προσαγαγοῦσα ἐξελέγξῃ τὴν παρασυναγωγὴν ταύτην μετὰ τῶν αὐτῇ παρομαρτούντων παρανομημάτων. Ἀλλὰ μητρικὰ οὐχ ἧττον σπλάγχνα ἐπιδεικνυμένη, παντοίους τρόπους μετῆλθεν, ὅπως πείσῃ αὐτοὺς, καταλείψαντας τὰς σκολιὰς αὐτῶν ὁδοὺς,

Digitized by Google

ἐπανελθεῖν καὶ ὁδεύειν πάλιν τὰς τρίβους Κυρίου τὰς εὐθείας· οὐκ ἀπώνατο ὅμως τῆς μητρικῆς αὐτῆς στοργῆς καὶ ἐπιεικείας, ἀλλ' ἐκινδύνευσε, τοῦ κακοῦ ὁσημέραι διαδιδομένου, καὶ συνεργὸς φανῆναι τοῖς παρανομοῦσιν.

Διὸ, τῆς ἀνοχῆς αὐτῆς εἰς τὸ ἔπακρον καταντησάσης, ἔγνω τελευταῖον καὶ τὰ τῆς δικαιοσύνης αὐτῆς καθήκοντα ἀναδήσασθαι, ὅπως τούς τε ἱεροὺς κανόνας, ἀναφανδὸν καταπατουμένους, καὶ τὴν διδασκαλίαν τοῦ Εὐαγγελίου παραποιουμένην διεκδικήσηται, καὶ τὴν διάδοσιν τῆς νεωτερικῆς λύμης ἀνακόπτουσα τὸ ὀρθόδοξον πλήρωμα προφυλάξηται. Ἐφ' ᾧ καὶ ἁγίαν καὶ μεγάλην Σύνοδον ἔκ τε τῶν λοιπῶν παναγιωτάτων καὶ μακαριωτάτων πατριαρχῶν καὶ πολλῶν ἱερωτάτων μητροπολιτῶν καὶ θεοφιλεστάτων ἐπισκόπων, ὁσιωτάτων ἀρχιμανδριτῶν καὶ ἱεροδιδασκάλων, ἐν τῷ καθ' ἡμᾶς πατριαρχικῷ ναῷ τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου συνεκαλέσαμεν, ἐν ᾗ, προκειμένων τῶν ἱερῶν Εὐαγγελίων, προὐτάθη ἥ τε καινὴ καὶ ἄγνωστος τῇ Ἐκκλησίᾳ δόξα τοῦ φυλετισμοῦ καὶ ἡ ἀπαρίθμησις τῶν παρανομημάτων, οἷς οὗτοι χρησάμενοι εἰς τὴν σύστασιν τῆς ἑαυτῶν παρασυναγωγῆς κατήντησαν· ὧν ἐξελεγχθέντων καὶ κατακριθέντων, ἐξεφωνήθη ὁ ὅρος, δι' οὗ αὐτοὶ καὶ οἱ αὐτοῖς κοινωνοῦντες κηρύττονται σχισματικοὶ καὶ ἀλλότριοι τῆς τοῦ Χριστοῦ καθολικῆς Ἐκκλησίας.

Τὸν ὅρον τοῦτον, γνωστὸν καὶ ὑμῖν, ἀγαπητὰ τέκνα, ποιούμενοι, ἐντελλόμεθα καὶ παραγγέλλομεν πατρικῶς, ἵνα, ὡς τοιούτους γνωρίζοντες αὐτοὺς, μηδεμίαν θρησκευτικὴν κοινωνίαν πρὸς αὐτοὺς ἔχητε, εἰδότες ὅτι, οὕτως αὐτοῖς κοινωνοῦντες, τῷ αὐτῷ καὶ ὑμεῖς κρίματι ὑπόκεισθε. Τῷ κανόνι δὲ τούτῳ στοιχοῦντες, μηδεμίαν ἀφ' ἑτέρου ἔχθραν, μηδὲ μῖσος πρὸς αὐτοὺς ἔχητε, ἀλλὰ θεωροῦντες αὐτοὺς ὡς ἀδελφοὺς πλανηθέντας, δεικνύητε σπλάγχνα οἰκτιρμῶν, καὶ ὑπὲρ τοῦ

Digitized by Google

φωτισμοῦ αὐτῶν δέησθε, καθάπερ καὶ ἡ καθόλου Ἐκκλησία, *ὑπογραμμὸν ἔχοντες τὸ ἀποστολικὸν τοῦτο ἀξίωμα «Δοῦλον* Κυρίου *οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτικόν, ἀνεξίκακον, τῇ πρᾳότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους· μήποτε δῷ αὐτοῖς ὁ* Θεὸς *μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα».*

Οὕτω *τοίνυν «ὑμεῖς ἀγαπητοί, τῇ ἁγιωτάτῃ ἡμῶν πίστει ἐποικοδομοῦντες ἑαυτούς, ἐν ἁγίῳ* Πνεύματι, *προσευχόμενοι, ἑαυτοὺς μὲν ἐν ἀγάπῃ* Θεοῦ *τηρήσετε, αὐτοὺς δὲ ἐλεεῖτε διακρινόμενοι, προσδεχόμενοι καὶ ὑπὲρ αὐτῶν τὸ ἔλεος τοῦ* Κυρίου *ἡμῶν* Ἰησοῦ Χριστοῦ». Οὗ *ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος σὺν τῇ παρ' ἡμῶν εὐχῇ καὶ εὐλογίᾳ εἴη μετὰ πάντων ὑμῶν.* Ἀμήν.

Ἐν *ἔτει αωοβ'.*

Ἐν *μηνὶ σεπτεμβρίῳ ἰνδικτιῶνος* Α'.



ΣΗΜ. Τὰ *ἀπὸ σελίδος* 348—360 *καὶ* 392—432 *σὺν τῷ παρόντι πατριαρχικῷ γράμματι* (436—438) *ἐξεδόθησαν εὐθὺς ἐπιμελείᾳ τῆς* Μ. Ἐκκλησίας *ἐν φυλλαδίῳ ἐκ σελίδων* 104 *εἰς* 8ον, *μετὰ τῶν κατ' ἔκτασιν «Πρακτικῶν τῆς ἁγίας καὶ μεγάλης Συνόδου» κλπ·* Ἐν Κων]πόλει, *τύποις* Ι. Α. Βρετοῦ, *οὐ πάμπαν ἄμοιρα σφαλμάτων τυπογραφικῶν.*

Digitized by Google

ΑΠΑΝΤΗΣΕΙΣ ΑΥΤΟΚΕΦΑΛΩΝ ΕΚΚΛΗΣΙΩΝ

Α΄ Ἐκκλησίας Ἀντιοχείας

Παναγιώτατε, θειότατε καὶ σεβασμιώτατε οἰκουμενικὲ πατριάρχα κύριε κύριε Ἄνθιμε, ἐν Χριστῷ τῷ Θεῷ λίαν ἀγαπητὲ καὶ περιπόθητε ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος. Τὴν σεβασμιοπόθητον ἡμῖν αὐτῆς Παναγιότητα ἀδελφικῶς ἐν Κυρίῳ κατασπαζόμεθα καὶ ὑπερήδιστα προσαγορεύομεν.

Μετὰ *πόθου ἐγκαρδίου δεξάμενοι τὴν ὑπ' ἀριθ.* 6250 *σεβασμίαν ἀδελφικὴν ἐπιστολὴν τῆς ὑμετέρας θειοτάτης* Παναγιότητος, *ἐχάρημεν ἐγκαρδίως καὶ δόξαν ἀνεπέμψαμεν τῷ Ὑψίστῳ τῷ ὑγιαίνουσαν περιφρουροῦντι αὐτήν, οὗ τῷ ἐλέει καὶ ἡμεῖς καλῶς ἔχομεν.* Εἴδομεν *τὸ ἐπισυνημμένον τηλεγράφημα τινῶν ἐκ τῶν προκρίτων χριστιανῶν τῆς πόλεως* Βηρυτοῦ, *δι' οὗ διαμαρτύρονται κατὰ τῆς συμμετοχῆς ἡμῶν εἰς τὴν πρᾶξιν τῆς ἁγίας καὶ μεγάλης* Συνόδου, *περὶ τοῦ βουλγαρικοῦ ζητήματος.*

Ἡ παράδοξος αὕτη διαγωγὴ αὐτῶν καθ' ἡμῶν ἐδηλώθη καὶ πρὸς ἡμᾶς δι' ἑτέρου ὁμοίου τηλεγραφήματος αὐτῶν. Τὸ *κακὸν ὅμως τοῦτο παράδειγμα ἐμιμήθησαν καὶ οἱ τριπολῖται καὶ λαοδικεῖς, οἵτινες ὁμοίως ἔπεμψαν ἡμῖν ὅμοια τηλεγραφήματα τὴν αὐτὴν ἔννοιαν ἐπαναλαμβάνοντα.*

Τὸ *καθ'* ἡμᾶς *οὐδαμῶς ἐπτοήθημεν, χάριτι* Χριστοῦ, *ἐπὶ τῇ τοιαύτῃ διαγωγῇ τῶν ἁπλῶν χριστιανῶν, ὑποκινηθέντων εἰς τοῦτο ὑπὸ γνωστῶν αἰτιῶν, συμφερόντων καὶ ῥαδιουργιῶν καὶ δελεασμάτων ἀπὸ μέρους τῶν σφόδρα ἐνδιαφερομένων ἐπισήμων πρακτόρων ἐν τῇ* Συρίᾳ *καὶ* Παλαιστίνῃ, *διαστρεφόντων καὶ τὸ γράμμα καὶ τὸ πνεῦμα τοῦ συνοδικοῦ*

Digitized by Google

